DANTE'S

INFERNO,

TRANSLATED INTO GREEK VERSE

BY

MUSURUS PASHA, D.C.L.

WILLIAMS AND NORGATE,
14, HENRIETTA STREET, COVENT GARDEN, LONDON;
AND 20, SOUTH FREDERICK STREET, EDINBURGH.
1882.

ΔΑΝΤΟΥ

Ο

ΑΔΗΣ.

ΜΕΤΑΦΡΑΣΙΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΟΥΣΟΥΡΟΥ.



ΕΝ ΛΟΝΔΙΝΩ,

WILLIAMS AND NORGATE,

14, HENRIETTA STREET, COVENT GARDEN;

20, SOUTH FREDERICK STREET, EDINBURGH.

1882.

ΠΡΟΛΟΓΟΣ.

Τὴν μετάφρασιν ταυτηνὶ τοῦ περὶ Ἅδου ποιήματος τοῦ Δάντου τύποις ἐκδοῦναι ἐγνωκώς, περιττὸν ἡγοῦμαι ἐξυμνῆσαι ἐν προοιμίοις τὴν ἀξίαν τοῦ ποιητοῦ καὶ λόγους ποιεῖσθαι περί τε τοῦ βίου καὶ τῆς ὅλης αὐτοῦ ἐποποιΐας, τούτων πάντων ὄντων τοῖς πᾶσι γνωστῶν. Περὶ δὲ τῆς μεταφράσεως αὐτῆς ἐπιτρέπω κρῖναι τοῖς εὐμενέσι τῶν ἀναγνωστῶν, τοῦτο μόνον διατεινόμενος, ὅτι πιστὴ κατά γε τὰ ἄλλα, καίτοι

ἐπιδεὴς πάντως τῆς τοῦ πρωτοτύπου καλλονῆς. Γλώσσῃ δ' ἐχρησάμην κεκανονισμένῃ Ἑλληνικῇ, ἀλλ' εὐλήπτῳ, καὶ μέτρῳ δωδεκασυλλάβῳ παροξυτόνῳ, ὁμοίῳ μὲν τῷ ἰαμβικῷ, ἐλλείποντι δὲ τοῦ χρονικοῦ ῥυθμοῦ· τοῦθ' ὅπερ ἀνεπαίσθητον ἂν εἴη τοῖς νῦν ἑλληνίζουσιν, ἅτε ἀπολομένης, σχεδὸν εἰπεῖν, τῆς ἀρχαίας προφορᾶς τῶν μακρῶν καὶ βραχέων, ὡς αὐτὸ τοῦτο συνέβη καὶ τῇ Λατινίδι γλώσσῃ. Ἐν τέλει δὲ τῆς μεταφράσεως προσέθηκα σημειώσεις ἱστορικάς τε καὶ γεωγραφικάς, πρὸς δέ που καὶ φιλολογικάς, εἰς εὐχερεστέραν κατάληψιν τῆς διανοίας τοῦ Ποιητοῦ, ἄλλως τε δεινοῦ καὶ ἀλληγορίαις ἡδομένου. Τῶν δὲ σημειώσεων τούτων

τὰς πλείους ἠρανισάμην ἐκ τῶν τοῦ ἐν λογίοις διαπρέποντος Ἄγγλου Φρεδερίκου Πολλόκου, ἀρίστου καὶ ἐπιτυχοῦς μεταφραστοῦ τῶν ποιημάτων τοῦ Δάντου.

Ἐν Λονδίνῳ,

Ὀκτωβρίου μεσοῦντος, ͵αωπά.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΜΟΥΣΟΥΡΟΣ.

ΠΙΝΑΞ ΤΩΝ ΕΝ ΕΚΑΣΤΗι ΩΔΗι

ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΠΑΡΟΡΑΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ.

Ἐν ταῖς Ὠδαῖς.

Ὠδὴ		ἀντὶ	γραπτέον
Α′,	69.	*Μαντιανοὶ*	*Μαντυανοὶ*
Δ′,	90.	*Ὀβίδιος,*	*Ὀβίδιος,*
ΙΑ′,	95.	*φὴς*	*φῂς*
ΙΒ′,	15.	*Καθάτις*	*Καθάπερ τις*
ΙΕ′,	39.	*οὐ δυναμένη*	*μὴ δυναμένη*
ΙΕ′,	64.	*Ἐχθρὸς ἐπ᾽ ἀγαθῷ σου*	*Ἐχθρός, ὡς ἀγαθουργῷ,*
ΙΕ′,	122.	*ἐν Βηρῶνι*	*ἐν Βηρώνῃ*
ΚΔ′,	48.	*χλανῖσί τε*	*χλανίσι τε*
ΚΔ′,	128.	*Πυνθάνου δέ,*	*Πυνθάνου,*
ΚΔ′,	133.	*λυποῦμαι*	*λυποῦμ᾽*
ΚΗ′,	21.	*ἐννάτου*	*ἐνάτου*
ΚΗ′,	75.	*Βαρκελλῶν*	*Βερκελλῶν*
Λ′,	137.	*Ἐν ὀνείρῳ τότ᾽ ὢν*	*Ἐν ὀνείρῳ τ᾽ ὢν*
ΛΓ′,	49.	*Οὐ μὴν ἔκλαυσ᾽*	*Οὐκ ἔκλαιον,*
ΛΓ′,	52.	*Οὐκ ἐδάκρυσ᾽*	*Οὐ μὴν ἐδάκρυσ᾽,*

Ἐν ταῖς Σημειώσεσι.

Σελ.	στ.	ἀντὶ	γραπτέον
277,	9.	la baisa	le baisa
288,	5.	*ἔννατον*	*ἔνατον*
318,	6.	*Βρεκελλῶν*	*Βερκελλῶν*
324,	19.	(Falterona)	(Fallerona),
326,	17.	Ganellon	Canellon
326,	20.	*Μαμφρέδων*	*Μομφρέδων*

Διορθώσεις παροραμάτων τυπογραφικῶν καὶ ἄλλων τινῶν ἐν τῇ μεταφράσει τοῦ Ἅδου.

Ἐν ταῖς Ὠδαῖς.

Ὠδ. Στίχ.	ἀντί.	γραπτέον.
Α', 39.	ὅτε τὸ θεῖον φίλτρον	ὁ θεῖος ὁπότ' ἔρως
51.	Καὶ πολλοὺς παναθλίους ἔθρεψεν ἤδη.	Πολλοὺς τ' ἐποίησ' ἤδη ζῆν παναθλίους.
69.	Μαντιανοὶ	Μαντυανοὶ
87.	προσενεγκόν μοι	ἀπενεγκόν μοι
94.	τοῖς ἄλλοις	τοὺς ἄλλους
Β', 48.	ἀφηνιάζει	ἀφηνιῶντα
72.	φίλτρον	Ἔρως
130.	ᾐσθάνθην	ᾐσθόμην
Γ', 4.	Πλάστου	Κτίστου
7.	τὸ πρῶτον φίλτρον	καὶ πρῶτος ἔρως
Δ', 43.	ᾐσθάνθην	ᾐσθόμην
90.	Ὀβίδιος	Ὀβίδιος
131.	τῶν ἐδρευόντων	τῆς ἐπιστήμης
132.	Ἐν τῇ τῶν φιλοσόφων οἰκογενείᾳ.	Ἑδρεύοντ' ἐν τῇ σοφῶν οἰκογενείᾳ.
Ε', 76.	Ὅτ' ἔσοντ'	Ὅταν ὦσ'
116.	τὰ μαρτύριά σου	τὰ παθήματά σου
129.	μοναχοί,	μόνοι καὶ

Ὠδ.	Στίχ.	ἀντί.	γραπτέον.
ΣΤ',	96.	Ὅτ' αὐτοῖς ἐπισκήψει τρομερὰ δίκη·	Καὐτοῖς τρομερὰ τότ' ἐπισκήψει δίκη·
Ζ',	95.	Μειδιῶσ' ἐφ' οἷς πρῶτον ὑπῆρξεν εὔνους,	Μετὰ τῶν ἄλλων πρώτων κτισμάτων εὔφρων,
Θ',	15.	Ἐννοῶν	Ἐννοοῦντ'
	33.	ἔστ'	ἔσθ'
	133.	τῶν τειχῶν καὶ μαρτύρων	τειχῶν καὶ μαρτυρίων.
Ι',	2.	τῶν μαρτύρων	μαρτυρίων
	51.	οἱ σαυτοῦ τὴν σὴν τέχνην."	οἱ σοὶ τὴν τέχνην κείνην."
	55.	ὡς ἂν εἰ θέλων	ὡς βουλομένη
	128.	σοφὸς	Σοφὸς
ΙΑ',	95.	φῆς	φῆς
	106.	τούτων	τούτων,
ΙΒ',	11.	Ἄκρον δ' ἐπὶ τῆς πέτρας	Ἐπ' ἄκρου δὲ τῆς πέτρας
	15.	Καθά τις	Καθάπερ τις
	41.	Ὥστε, καθὰ σκέπτομαι, τὸ πᾶν ᾐσθάνθη	Ὥστ' ἐνόμιζον αἰσθάνεσθαι τὸ σύμπαν
	120.	σεπτοῦ	σεπτὴν
ΙΓ',	66.	Κοινὸς τῶν αὐλῶν θάνατος καὶ κακία!	Κοινὸς θάνατος, καὶ τῶν αὐλῶν κακότης!
ΙΕ',	9.	αἰσθανθῇ	αἴσθηται
	39.	Τοῦ πυρὸς ἀμύνασθαι οὐ δυναμένη.	Ἀμύνασθαι τοῦ πυρὸς οὐ δυναμένη.
	64.	Ἐχθρός, ἐπ' ἀγαθῷ σου,	Ἐχθρός, ὡς ἀγαθουργῷ,
	122.	Βηρῶνι	Βηρώνῃ
ΙΣΤ',	39.	καὶ νῷ	φρεσὶ
ΙΖ',	16.	ἀράχνη	Ἀράχνη
	109.	ᾐσθάνθη	ὑπέστη
	112.	ᾐσθάνθην	ᾐσθόμην
ΙΗ',	132.	ὀοθῶς	ὀρθῶς
	136.	"Ἀλλὰ . . . εἶδεν."	Ἀλλὰ . . . εἶδεν.
ΙΘ',	54.	κατὰ πολλ' ἔτη	κατά τιν' ἔτη
Κ',	48.	ἐν τῇ κάτω κοιλάδι	οἰκεῖ τὴν κάτω χώραν
	49.	Ῥέει, σπήλαιον	Γεωργῶν, ἄντρον

Ὠδ.	Στίχ.	ἀντί	γραπτέον.
Κ',	64.	Πλείους χιλίων πηγαὶ τὸν Ἀπεννῖνον	ΤἈπέννινον πλείονες πηγαὶ χιλίων
ΚΑ',	135.	ἀλφαστοβράστους	ἀσφαλτοβράστους
ΚΔ',	48.	χλανῖσί τε	χλανισί τε
	128.	Πυνθάνου δέ,	Πυνθάνου,
	133.	λυποῦμαι	λυποῦμ'
ΚΕ',	13.	ᾐσθάνθη	ᾔσθετο
	120.	Ἐπὶ τοῦδ,	Ἐπὶ τοῦδ',
ΚΖ',	7.	Ὡς ὁ Σικελικὸς βοῦς,	Ὡς βοῦς ὁ Σικελικός,
	89.	Μηδενὸς φροντίζοντος ἐκπορθεῖν Ἄκην,	Ὧν οὐδεὶς ἕδραμ' ἀμυνούμενος Ἄκην,
	90.	Μήτ' ἐμπορεύεσθ'	Ἀλλ' οὔτ' ἔμπορος
	122.	ᾐσθάνθην	ᾐσθόμην
ΚΗ',	21.	ἐννάτου	ἐνάτου
	75.	Βαρκελλῶν	Βερκελλῶν
	135.	Ῥηγὶ δόντ' Ἰωάννῃ.	δόντα Βασιλεῖ Νέῳ.
ΚΘ',	99.	Μετὰ τῶν ἄλλων τὰ ῥηθέντ' ἀκουσάντων.	Μετ' ἄλλων ἀκουσάντων ταὔτ' ἀντιτύπως.
Λ',	24.	Ὥστε νύττειν οὐ θῆρας, ἀλλ' οὔτ' ἀνθρώπους,	Ὡς μηδὲ θῆρας νύττειν, μή τί γ' ἀνθρώπους,
	28.	Καπόκκιον	Καπόκιον
	137.	Ἐν ὀνείρῳ τότ' ὢν	Ἐν ὀνείρῳ τ' ὢν
ΛΑ',	80.	Ἀλύσει	Ἁλύσει
	111.	ἀλύσεσιν	ἁλύσεσιν
	131.	Ὧν Ἡρακλῆς τὸν δεινὸν δραγμὸν ᾐσθάνθη.	Ὧν Ἡρακλῆς ᾔσθετο τὸ μέγα σθένος.
ΛΒ',	86.	ἶπον	Εἶπον
ΛΓ',	49.	Οὐ μὴν ἔκλαυσ',	Οὐκ ἔκλαιον,
	52.	Οὐκ ἐδάκρυσ'	Οὐ μὴν ἐδάκρυσ',
	101.	νενεκρωμένω	νενεκρωμένῳ
	135.	ἐξαπατᾷν με	ἐξαπατᾷν με,
ΛΔ',	37.	ᾐσθάνθην	ᾐσθόμην
	139.	Συνεξελθόντες εἴδομεν πάλιν τἄστρα.	Ἐξήλθομεν, ἵν' ἴδωμεν πάλιν τἄστρα.

Ἐν ταῖς Σημειώσεσι.

Σελ. στίχ.	ἀντί.	γραπτέον.
283, 17.	ἀλυσίδετον	ἁλυσίδετον
284, 12.	133. Μέσον τῶν τειχῶν καὶ μαρτύρων κφξ (ἄχρι τέλους τῆς σημειώσεως).	133. Μέσον τειχῶν καὶ μαρτυρίων. Ἡ λέξις "μαρτύρια," παρὰ τῷ Ποιητῇ martiri, λατινιστὶ martyria, σημαίνει ἐνταῦθα οὐχὶ βασάνους, ὡς ὑπέλαβον πάντες σχεδὸν οἱ μεθερμηνευταὶ Ἰταλοί τε καὶ μή, ἀλλά, κατὰ ἐκκλησιαστικὴν φράσιν, τάφους, κοιμητήρια τῶν αἱρετικῶν, ἐν οἷς οὗτοι ἔθαπτον τοὺς παρ' αὐτοῖς ὀνομαστούς, καλοῦντες τὰ κοιμητήρια ταῦτα τῶν ὁμοδοξούντων μαρτύρια. Ὅρα Κανόνα Θ' τῆς ἐν Λαοδικείᾳ Συνόδου, καὶ σημειώσεις Ζωναρᾶ, Βαλσαμῶνος καὶ Ἀριστηνοῦ.
289, 4.	(Αἰν. II, 223).	(Αἰν. Β', 223).
7.	τῆς Ἀπεχθείας καὶ τοῦ Ἔρωτος	τῆς Ἀπεχθείας, Ἀπώσεως, καὶ τοῦ Ἔρωτος, Ἕλξεως,
296, 3.	Μομφρέδος	Μαμφρέδης
301, 12.	πόλλ'	τιν'
24.	1203	1303
26.	1214	1314
309, 6.	ἱεροσυλίας	ἱεροσυλίας,
313, 9.	δαταγὴν	διαταγὴν
314, 4.	πράσινον)	(πράσινον)
317, 18.	paganisme,	paganisme prévalut,
318, 6.	Βρεκελλῶν	Βερκελλῶν
327, 8.	Γουαλανδῶν	Γουαλάνδων
16.	Γενούας	Γενόας
21.	Φράτερι	Φρατρὶ

ΔΑΝΤΟΥ Ο ΑΔΗΣ.

ΩΔΗ Α΄.

Εἰσαγωγὴ ἀλληγορική.—Ὁ δασὺς δρυμών.—Ὁ λόφος. —Τὰ τρία θηρία.—Βιργίλιος.— Ὁ Λυκοθήρας.— Ἀναχώρησις πρὸς ἐπίσκεψιν τοῦ Ἅδου καὶ τοῦ Καθαρτηρίου.

Ἐν τῷ μέσῳ τῆς τρίβου τοῦ βίου τούτου
Εὑρέθην ἐν σκοτεινῷ τινι δρυμῶνι·
Τῆς γὰρ εὐθείας ὁδοῦ παρεξετράπην.
Ὦ, πόσον δεινὸν εἰπεῖν ὡς ἦν ἐκεῖνος
Ὁ δρυμὼν τραχύς, ἄγριος καὶ συνήρης,
Οὗπερ ἡ μνήμη τὸν φόβον διεγείρει!
Ὄντως ἐστὶν ἧττόν τι πικρὸς θανάτου.
Ἀλλ' ὅ,τι καλὸν εὗρον ἐξειπεῖν μέλλων,

Περὶ τῶν ἄλλων, ὅσ' εἶδον ἐκεῖ, λέξω.
Οὐκ ἔχω καλῶς εἰπεῖν, πῶς ποτ' εἰσῆλθον·
Οὕτως ὑπνώττων ἤμην τῇ στιγμῇ 'κείνῃ,
Καθ' ἣν τῆς ἀληθινῆς ἀπέστην τρίβου.
'Αλλ' ὅτ' ἦλθον εἰς λόφου τινὸς τοὺς πόδας,
Ἔνθ' ἦν τὸ τέρμα τῆς κοιλάδος ἐκείνης,
Ἣ τὴν καρδίαν κατέπληξέ μοι φόβῳ,
Ὑψώσας ὄμματ' εἶδον ἤδη τὰ νῶτα
Αὐτῆς ἀκτῖνας φοροῦντα τοῦ πλανήτου
Τοῦ πάντας πανταχόσε φωταγωγοῦντος.
Τότε μικρόν τι κατέπαυσεν ὁ φόβος,
Ὁ τοὺς κρουνούς μοι παγώσας τῆς καρδίας
Τὴν νύκτ' ἐκείνην, ἣν διῆλθον ἐν φρίκαις.
Ὡς δ' ὅτε τις βαρέως ἀσθμαίνων ἔξω
Τοῦ πελάγους, ἐξελθὼν ἐπὶ τὴν ὄχθην,
Στρέφων πρὸς τὸ σφαλερὸν κῦμ' ἀτενίζει,
Οὕτως ἡ διαφεύγουσ' ἔτι ψυχή μου
Στρέφουσ' ὀπίσω τὸν πόρον ἐθεώρει,
Ὃν κατέλιπεν ἄνθρωπος ζῶν οὐδέπω.
Ἄνεσιν δέ τινα δοὺς τῷ σώματί μου,

Ἐπανέλαβον τὴν ὁδὸν τῆς ἐρήμου,
Ὥστ' ἦν ποῦς στεῤῥότερος ὁ κατωτέρω.
Ἀλλ' ἰδοὺ σχεδὸν ἐν ἀρχῇ τῆς ἀνόδου
Πάρδαλίς τις ἐλαφρὰ καὶ ταχυτάτη,
Κεκαλυμμένη δέρματι πολυστίκτῳ,
Ἀκίνητος ἵστατο κατέναντί μου,
Τοσοῦτό τ' ἐκώλυε τὴν πρόοδόν μου,
Ὥστ' ἐπειράθην ἐπιστρέψαι πολλάκις.
Καιρὸς δ' ἦν, καθ' ὃν ἡ πρωΐα διηύγει,
Ὁ δ' ἥλιος ὑψοῦτο μετὰ τῶν ἄστρων,
Οἷς συνυπῆρχεν, ὅτε τὸ θεῖον φίλτρον
Τὰ καλὰ 'κεῖνα πρῶτον ἐκίνησ' ἔργα.
Καὶ δή μοι χρηστὰς ὑπέφαινον ἐλπίδας
Τοῦ τε θηρίου τὸ ποικιλόχρουν δέρμα
Ὥρα τ' ἔαρος ἡμέρας τε πρωΐα·
Ἀλλ' οὐχ οὕτως, ὡς μή μ' ἔμφοβον γενέσθαι
Ἐκ τῆς θέας λέοντος ἐπιφανέντος.
Οὗτος προς ἐμὲ καθορμήσειν ἐδόκει,
Ὑψαύχην, πειναλέος, λυσσώδης οὕτως,
Ὥστε φρίσσοντα φαίνεσθαι τὸν ἀέρα·

Καὶ λύκαινά τις, ἡ μεστὴ πόθων πάντων
Ἐδόκει καὶ παντοίων, κάτισχνος οὖσα,
Καὶ πολλοὺς παναθλίους ἔθρεψεν ἤδη·
Αὕτη μοι τόσην ἐνεποίησε νάρκην,
Τρόμον ἀφιεῖσ᾽ ἐκ τῶν αὐτῆς ὀμμάτων,
Ὥστ᾽ ἀπηλπίσθην τὴν κορυφὴν ἱκέσθαι·
Ὡς δέ τις χαίρων ἐν ταῖς ἐπικερδείαις,
Ἀλλ᾽, ἐφεστῶτος τοῦ καιροῦ τῆς ζημίας,
Ἄχθετ᾽ ἐν τοῖς λογισμοῖς αὐτοῦ καὶ κλαίει,
Τοιόνδ᾽ ἡ θὴρ ἄκαμπτος ἐποίησέ με,
Ἡ κατὰ μικρὸν ἀντίον μου χωροῦσα
Ἐξώθει μ᾽ ἐνθ᾽ ἥλιος σιγηλὸς μένει.
Πλανωμένου μου δ᾽ ἐν ταῖς κατωφερείαις,
Παρέστηκέ τις πρὸ τῶν ἐμῶν ὀμμάτων,
Ὃς μακρὸν σιγῶν λιπόφθογγος ἐδόκει.
Ὡς δ᾽ εἶδον αὐτὸν ἐν τοιᾷδ᾽ ἐρημίᾳ,
Εἶπον ἀνακραυγάσας· "Ἐλέησόν με,
„Οἷός ποτ᾽ εἶ, ζῶν ἄνθρωπος ἢ σκιά τις."—
—"Οὐκέτ᾽ ἄνθρωπος," εἶπεν, "ἄνθρωπος ἤμην·
„Οἱ δ᾽ ἐμοὶ γονεῖς ὑπῆρξαν Λογγοβάρδοι,

„ Καὶ Μαντιανοὶ τὴν πατρίδ᾽ ἦσαν ἄμφω·
„ Ἐγενόμην ὀψέπερ ἐπ᾽ Ἰουλίου,
„ Ἐν Ῥώμῃ δ᾽ ἐπ᾽ εὐμενοῦς ἔζησ᾽ Αὐγούστου
„ Ἐν χρόνοις θεῶν ψευδῶν καὶ ψευδομένων.
„ Ποιητὴς ἤμην καὶ τὸν δίκαιον ᾖδον
„ Υἱὸν Ἀγχίσου, τοῦ Τροίηθεν ἐλθόντος,
„ Ἐπεὶ τὸ κλεινὸν Ἴλιον κατεκαύθη.
„ Σὺ δὲ πῶς εἰς ἔρημον ὧδε προήχθης;
„ Πῶς οὐκ ἀνέβης εἰς τὸ θυμῆρες ὄρος,
„ Τὴν ἀρχὴν αἰτίαν τε χαρμονῆς πάσης;—
—„ Σὺ γοῦν εἶ Βιργίλιος, ἡ πηγὴ ᾽κείνη,
„ Ἐξ ἧς ἐκρέει ποταμὸς εὐφραδείας;"
Ἀπεκρίθην μετ᾽ αἰδοῦς κεφαλὴν κλίνας.
"Ὦ τῶν ἄλλων ποιητῶν δόξα καὶ φέγγος,
„ Εὔνους εἴης μοι τῷ μακρὸν τὴν σὴν βίβλον
„ Μελετήσαντι λίαν τ᾽ ἀγασαμένῳ.
„ Σύ μοι διδάσκαλος εἶ, σύ τ᾽ ἀρχηγέτης,
„ Σὺ μόνος, ἐξ οὗ τὸ καλλιεπὲς ὕφος
„ Παρέλαβον τὸ τιμὴν προσενεγκόν μοι.
„ Ἰδὲ τὴν θῆρα τὴν ἐκδιώξασάν με·

„ Βοήθησόν μοι, σοφὲ δεδοξασμένε·
„ Ἐμποιεῖ γάρ μοι φλεψὶ καὶ σφυγμοῖς τρόμον."—
—" Ὁδὸν ἑτέραν τραπῆναί σε προσήκει,"
Ἀπεκρίνατο θεωρῶν με θρηνοῦντα,
"Ἵν' ἐξέλθῃς τῆς χθονὸς ἀγρίας τῆςδε.
„ Ἡ γὰρ θὴρ αὕτη, δι' ἣν κράζεις, τοῖς ἄλλοις
„ Οὐκ ἐᾷ τὴν ἑαυτῆς διελθεῖν τρίβον,
„ Ἀλλ' ἀπείργει μέχρις ἂν αὐτοὺς φονεύσῃ·
„ Οὕτω τε κακοποιὸν κέκτηται φύσιν,
„ Ὥστ' οὐδὲν αὐτῆς ἀπλήστους πληροῖ πόθους,
„ Καὶ κορεσθεῖσα πλέον ἢ πρὶν λιμώττει.
„ Τὰ ζῶα δ' ἐστίν, οἷς συμμίγνυται, πλεῖστα,
„ Καὶ πλείον' ἔσται, μέχρις ὁ Λυκοθήρας
„ Ἐλθὼν ἐν δειναῖς ὀδύναις αὐτὴν κτείνῃ.
„ Οὗτος οὐ ζήσετ' ἐν γαίαις καὶ χρυσίῳ,
„ Ἀλλ' ἐν ἀρετῇ καὶ στοργῇ καὶ σοφίᾳ.
„ Γενετὴν δ' ἕξει μεταξὺ δύο Φέλτρων,
„ Καὶ σωτὴρ ἔσται ταπεινῆς Ἰταλίας,
„ Ὑπὲρ ἧς ἀπέθανε κόρη Καμίλλα,
„ Εὐρύαλος καὶ Τύρνος Νῖσός τ' ἐν μάχαις.

„ Οὗτος οὖν ἐκ πόλεως πάσης διώξει
„ Αὐτήν, ἕως ἂν εἰς Ἅδην ἀποπέμψῃ,
„ Ἔνθεν τὸ πρῶτον ἐξήγαγεν ὁ φθόνος.
„ Ὅθεν ἐπ' ἀγαθῷ σοι φρονῶ καὶ κρίνω,
„ Ὅπως ἕπῃ μοι, κἀγὼ δέ σ' ὁδηγήσω,
„ Ἄξω τ' ἐντεῦθεν δι' αἰωνίου χώρας,
„ Ἔνθ' ὀλολυγμοὺς ἀνέλπιδας ἀκούσῃ·
„ Ὄψει τ' ἀρχαῖα πνεύματα τετληκότα,
„ Τὸν δεύτερον θάνατον κραυγαῖς καλοῦντα·
„ Ὄψει τ' ἐκείνους, οἵτινες εὐαρέστως
„ Ἐν τῷ πυρὶ μένουσιν, ὡς προσδοκῶντες
„ Εἰς τὸν χῶρόν ποτ' ἀνελθεῖν τῶν μακάρων.
„ Πρὸς τούτους ἔπειτ' εἰ θέλεις ἀναβῆναι,
„ Ἔστιν ἐμοῦ ψυχή τις ἀξιωτέρα,
„ Μεθ' ἧς καταλείψω σε πρὶν ἐκχωρήσω.
„ Αὐτοκράτωρ γάρ, ὃς ὕπερθεν ἀνάσσει,
„ Ὡς τῶν ἑαυτοῦ νόμων ἀφεστηκότα,
„ Οὐ θέλει μ' ἐλθεῖν εἰς τὴν ἑαυτοῦ πόλιν.
„ Οὗτος πάντων βασιλεύς, Οὐρανῶν ἄναξ,
„ Ἔνθ' ἡ πόλις ἔστ' αὐτοῦ καὶ θεῖος θρόνος.

„Ὦ, μάκαρ ἐκεῖνος, ὃν ἐκεῖσ' ἐκλέξῃ!"
Κἀγὼ πρὸς αὐτόν· "Ποιητά, δέομαί σου,
„Πρὸς Θεοῦ σ' ἐκλιπαρῶν, ὅνπερ οὐκ ἔγνως,
„Φυγεῖν με τὸ κακὸν τόδ' ἢ τούτου χεῖρον.
„Ὁδήγησόν με λοιπὸν ὅπου νῦν εἶπας,
„Ὅπως ἴδω τὴν θύραν ἁγίου Πέτρου,
„Κἀκείνους, οὓς μοι λέγεις οὕτω δυστήνους."
Τότ' αὐτὸς ἐκίνησεν, ἐγὼ δ' εἰπόμην.

ΩΔΗ Β'.

Δάντου φόβοι.—Βιργιλίου προτροπαί.—Αἱ τρεῖς Οὐράνιαι Κυρίαι.—Ἔναρξις τῆς περιηγήσεως.

Ἡ *μὲν ἡμέρα παρήρχετο, καὶ πάντα*
Ὁ *μελανώδης ἀὴρ τἀπὶ γῆς ζῶντα*
Τ*ῶν πόνων ἀπήλαυνεν· ἐγὼ δὲ μόνος*
Ἡ*τοιμαζόμην ὑποστῆναι τὸ βάρος*
Τ*ῆς τε πορείας καὶ τοῦ ψυχικοῦ πάθους,*
Ὁ *νῦν ἡ πιστὴ μνήμη μου περιγράψει.*
Ὦ Μοῦσαι, *πνεῦμα θεῖον, νῦν βοηθεῖτε·*
Ὦ *μνήμη τ', ἐν ᾗ γέγραπται πάνθ' ὅσ' εἶδον,*
Ν*ῦν ἡ σὴ φανήσεται σεμνηγορία.*
„Ὁ*δηγέ μου ποιητά,*" *λέγειν ἠρξάμην,*
"Ἴ*δε μου τὴν ἀξίαν εἴποτ' ἀντέχει,*
„ Π*ρὶν εἰς τὴν δεινὴν προχωρήσω πορείαν.*
„ Σ*ὺ λέγεις ἐλθεῖν τὸν τοῦ Σιλβίου πάππον,*
„ Ἔ*τ' ὄντα θνητόν, εἰς τὴν τῶν ἀθανάτων*

„ Χώραν ἔχοντα ζῶντος ἀνδρὸς αἰσθήσεις.
„ Ἀλλ' εἴπερ ὁ κακίας ἐχθρὸς ἁπάσης
„ Εὔνους ἦν αὐτῷ, φρονῶν καλὰ μεγάλα
„ Ἐκβησόμεν' ἐξ αὐτοῦ, ποίου καὶ ποῖα,
„ Οὐ δοκεῖ τοῦτ' ἀπρεπὲς ἀνδρὶ φρονίμῳ.
„ Αὐτὸς γὰρ Ῥώμης τῆς σεμνῆς καὶ τοῦ Κράτους
„ Ἡιρέθη πατὴρ ἐν Οὐρανῶν αἰθέρι·
„ Ῥώμη δὲ καὶ τὸ Κράτος, ἵν' ὀρθῶς εἴπω,
„ Προωρίσθησαν ὡς ἱερός τις τόπος,
„ Ἔνθ' ὁ τοῦ Πέτρου διάδοχος ἑδρεύει.
„ Ἐκ τῆς πορείας, ἣν ἐξύμνησας, ταύτης
„ Προκατέμαθεν ὅσ' ὑπῆρξεν αἰτία
„ Τῆς νίκης αὐτοῦ καὶ τῆς Παπικῆς χλαίνης.
„ Ἦλθεν εἶτ' ἐκεῖ τῆς Ἐκλογῆς τὸ σκεῦος,
„ Ὅπως ἐνδυναμώσῃ τὴν πίστιν κείνην,
„ Ἥτις ἔστ' ἀρχὴ τῆς σωτηρίου τρίβου.
„ Ἀλλ' ἐγὼ πῶς ὑπάγω; τίς τ' ἐπιτρέπει;
„ Οὔκ εἰμι γὰρ Αἰνείας, οὐδέ γε Παῦλος·
„ Οὔτ' ἄλλος ἔμ' ἄξιον, οὔτ' ἐγὼ κρίνω.
„ Ἐὰν οὖν ἐλθεῖν ἐγὼ συγκατανεύσω,

„ Φοβοῦμαι μήπως μωρὸν ἔργον τολμήσω.
„ Σοφὸς εἶ καὶ διορᾷς, εἰ καλῶς λέγω."
Ὡς δ' εἴ τις ὅπερ ἤθελ' οὐκέτι θέλει,
Καὶ διὰ νέους σκοποὺς ἀλλάσσων φρένα
Τὴν πρᾶξιν, ἧς ἤρξατο, καταλιμπάνει,
Τοιοῦτος ἤμην ἐν τῇ ζοφώδει ῥάχει·
Σκεφθεὶς γὰρ ἀπετράπην οὗπερ ἠρξάμην
Ἐγχειρήματος τοσαύτῃ προθυμίᾳ.
"Εἰ καλῶς ἔγνων τὰ παρὰ σοῦ ῥηθέντα,"
Ἀπήντησεν ἡ σκιὰ τοῦ μεγαθύμου,
"Τὴν σὴν ἀπηχρείωσε ψυχὴν ὁ φόβος,
„ Ὃς τὸν ἄνθρωπον συχνῶς οὕτω πιέζει,
„ Ὥστ' ἀποτρέπει παντὸς εὐγενοῦς ἔργου,
„ Ὡς ἵππον θέα ψευδὴς ἀφηνιάζει.
„ Πρὸς ἀπαλλαγὴν τοῦ τοσούτου σου φόβου
„ Ἐρῶ σοι, πόθεν καὶ τί μαθὼν ὧδ' ἦλθον,
„ Ὅτ' ἐπὶ τοῖς σοῖς πρῶτον ἠχθέσθην πόνοις.
„ Ὄντα μεταξὺ τῶν ὧδε μετεώρων,
„ Καλεῖ με γυνὴ καλὴ καὶ μακαρία,
„ Ἧς τὰς προσταγὰς προθύμως ᾐτησάμην.

„Ὄμμασιν ἄστρων πλέον ἀκτινοβόλοις
„Ἤρξατο λέγειν προσηνὴς καὶ γλυκεῖα,
„Ἀγγελικῇ τῇ φωνῇ προσφθεγγομένη."—
—"Ὦ κεχαριτωμένη ψυχὴ Μαντύας,
„Ἧς ἔτ' ἐν τῇ γῇ διατελεῖ τὸ κλέος,
„Διαμενεῖ τ' ἐφ' ὅσον τὸ πᾶν κινεῖται·
„Φίλος τις ἐμός, ἀλλ' οὐ φίλος τῆς τύχης,
„Οὕτω κωλύετ' ἐν τοῖς ἐρήμοις τόποις
„Καθ' ὁδόν, ὥστ' ἐκ φόβου τρέπετ' ὀπίσω·
„Καὶ δέος μήπως ἤδη παρεπλανήθη,
„Κἀγὼ πρὸς ἐπαρωγὴν ἦλθον βραδέως,
„Ὡς ἐν οὐρανοῖς ἤκουσα περὶ τούτου.
„Ἄγε δὴ κινήθητι, σαῖς τ' εὐεπείαις
„Καὶ πᾶσι τρόποις, οἷς δύναται σωθῆναι,
„Αὐτῷ βοήθει, κἀμοὶ συνεργὸς γίνου.
„Εἰμὶ Βεάτριξ, ἐγώ τε σ' ἀποστέλλω·
„Ἔρχομ' ἔνθεν μοι ποθητὸν ἐπιστρέψαι.
„Φίλτρον ἐκίνησέ με, λόγους τ' ἐμπνέει.
„Ὅτ' ἔσομ' ἐνώπιον τοὐμοῦ Κυρίου,
„Αὐτῷ συχνάκις περὶ σοῦ καλῶς λέξω."—

—" Ἡ μὲν ἐσιώπησεν, ἐγὼ δ' ἠρξάμην."
"Ὦ δέσποινα, κάτοχε τοῦ μόνου δώρου,
„ Δι' οὗπερ τἀνθρώπινον ἐξέχει γένος
„ Πάντων τῶν ἐν οὐρανῷ τῷ μειοτρόχῳ·
„ Οὕτως εὐάρεστόν μοι τὸ πρόσταγμά σου,
„ Ὥστ' ἀμέσως ὑπείκων δοκῶ βραδύνειν.
„ Οὐ χρῄζεις πέρα φράζειν τὰς σὰς ἐφέσεις·
„ Ἀλλὰ λέγε μοι, πῶς κατέβης ἐνταῦθα
„ Ἐν τῷ χαμηλῷ τούτῳ κέντρῳ, λιποῦσα
„ Τὸν εὐρὺν χῶρον, ἔνθ' ἐπανελθεῖν θέλεις."—
—" Ἐπεὶ τὰ πάντ' εἰς βάθος εἰδέναι βούλει,
„ Ἐρῶ σοι βραχυεπῶς," εἶπεν ἐκείνη,
" Ὡς οὐκ ἐνθάδε δειλιῶ καταβῆναι.
„ Ἐκεῖνα μόνα πᾶς ὀφείλει φοβεῖσθαι,
„ Ἅπερ δύναται προξενεῖν αὐτῷ βλάβην·
„ Οὐχὶ δὲ τἆλλα· ταῦτ' οὐ γὰρ φοβητέα.
„ Τοιάδ' ἐγὼ χάριτι κατέστην θείᾳ,
„ Ὥστ' ἡ τληπάθει' ὑμῶν οὐδέν με βλάπτει,
„ Οὔτε φλὸξ τούτου τοῦ πυρὸς ἅπτεταί μου.
„ Ἐν Οὐρανοῖς εὐμενής ἐστι Κυρία,

„ Οἰκτείρουσα τὸν ἄνδρα, πρὸς ὃν σε στέλλω,
„ Ὡς τὰς στυγερὰς ἄνω κάμπτουσα κρίσεις.
„ Αὕτη Λουκίαν μετακαλεσαμένη,
„ Εἶπε· ‘ “ Νῦν ὁ σὸς πιστὸς σοῦ χρείαν ἔχει·
„ Αὐτὸν ἐνθέρμως κἀγὼ συνίστημί σοι.” ’
“ Λουκία πάντων ἐχθρὰ σκληροκαρδίων
„ Εὐθὺς ἀνέστη, κ' εἰς τόπον ἦλθεν ὅπου
„ Μετὰ τῆς Ῥαχὴλ καθήμην τῆς ἀρχαίας·
„ Εἶπε· ‘ “ Βεάτριξ, ἀληθὴς θεῖος αἶνος,
„ Πῶς οὐ βοηθεῖς τῷ σε πεφιληκότι,
„ Διὰ σέ τ' ἐξελθόντι τοῦ χύδην ὄχλου;
„ Οὐκ ἀκούεις νῦν αὐτοῦ τοὺς οἰκτροὺς θρήνους;
„ Οὐχ ὁρᾷς αὐτὸν μαχόμενον θανάτῳ
„ Ἐπὶ ποταμοῦ θαλάσσης δεινοτέρου;” ’
“ Οὐδείς ποτ' ἐν τῷ κόσμῳ θηρεύων κέρδος,
„ Ἢ βλάβην ἀποφεύγων, ἔδραμε τόσον,
„ Ὁπόσον ὅτ' ἤκουσα τοιούτους λόγους.
„ Ὧδε κατέβην ἐκ τῆς μακάρων ἕδρας,
„ Ἔχουσα πίστιν εἰς τὸ σὸν καλῶς λέγειν,
„ Ὅπερ τιμᾷ σε καὶ τοὺς ἀκούσαντάς σου.”—

—“ Εἰποῦσα ταῦτα, τοὺς ὀφθαλμοὺς δακρύοις
„ Πρός με λάμποντας προσέτρεψε, καὶ τοῦτο
„ Ἐπετάχυνεν ἐμὴν ἄφιξιν ὧδε.
„ Παρὰ σὲ δ' ἐλθών, ὡς προὔτρεψεν ἐκείνη,
„ Ἔσωσά σε τῆς θηρός, ἥτις τὴν ὅρους
„ Τοῦ καλοῦ προσέλευσιν ἐκώλυέ σοι.
„ Τί τὸ λοιπόν; διὰ τί, διὰ τί μένεις;
„ Πῶς εἶ τοσοῦτον ἄνανδρος τὴν καρδίαν;
„ Πῶς οὔτε τόλμην οὔτε θρασύτητ' ἔχεις,
„ Ἐν ᾧ τοιαῦται τρεῖς μάκαιραι Κυρίαι
„ Ἐν τοῖς οὐρανοῖς ὑπὲρ σοῦ μεριμνῶσι,
„ Καλά σοι δ' οὑμοὶ προσυπισχνοῦνται λόγοι;”
Ὥσπερ τἄνθος ἐκ πάγους νυκτίου κύπτει,
Καὶ μένει κλειστόν· ἡλίου δ' ἀνιόντος,
Ἐπὶ τοῦ καυλοῦ διανοιχθὲν ὀρθοῦται·
Οὕτως ἐμαυτὸν ἀναψυχθέντ' ᾐσθάνθην·
Καὶ τοσοῦτον ἐν ἐμοὶ θάρσος ἐπῆλθεν,
Ὥστ' ἀπεκρίθην ὡς ἄνθρωπος γενναῖος.
“Ὦ ψυχὴ φιλέλεος, προστάτριά μου,
„ Καὶ σὺ φιλόφρων ὁ τάχος ὑπακούσας

„ Οἷς αὐτὴ λόγοις πιστοῖς παρώτρυνέ σε!
„ Οὕτω ταῖς σαῖς προτροπαῖς ἐν τῇ καρδίᾳ
„ Ἐνέσταξάς μοι πόθον τοῦ προχωρῆσαι,
„ Ὥστ' εἰς τὴν πρώτην πρόθεσιν ἐπανῆλθον.
„ Ἄγε δή, μία θέλησις ἡμῖν ἔστω·
„ Σύ μοι ποδηγός, σὺ κύριος, σύ τ' ἄρχων."
Αὐτῷ ταῦτ' εἶπον· ὁ δ' ἔπειτα προέβη,
Ἐγὼ δ' εἰς τὴν ἀγρίαν ὁδὸν εἰσῆλθον.

ΩΔΗ Γ′.

Αἱ πύλαι τοῦ Ἅδου.—Τὸ προπύλαιον.—Οἱ Οὐδέτεροι καὶ Ἄγγελοι οὔτε ἀποστάται οὔτε πιστοί.—Κελεστῖνος ὁ Ε′.—Ὁ Ἀχέρων.—Ὁ Χάρων. —Διάβασις.—Σεισμός.

Ἐνθάδ' αἱ πύλαι τῆς πόλεως τῶν γόων·
Ἐνθάδ' αἱ πύλαι τῆς αἰωνίου λύπης·
Ἐνθάδ' ἡ χώρα τοῦ καταράτου γένους.
Τοῦ Πλάστου μου σκοπὸς ἦν Δικαιοσύνη.
Θεία Δύναμις ἐδημιούργησέ με,
Ἡ μεγίστη Σοφία, τὸ πρῶτον φίλτρον.
Οὐδέν ποτ' ἦν οὐδαμοῦ πρὶν ἐμοῦ κτίσμα,
Πλὴν αἰωνίων, ὧν εἷς κἀγὼ τυγχάνω·
Ἄφες πᾶς ὧδ' εἰσιὼν πᾶσαν ἐλπίδα.
Τοὺς λόγους τούτους διὰ χροιᾶς μελαίνης
Γεγραμμένους ἀναγνοὺς ἐπὶ πυλῶνος,
Εἶπον· "Προστάτα, σκληρὸς δοκεῖ τῶν λόγων

„Τούτων ὁ νοῦς.“ Ὁ δ' ἅτε συνετὸς ἔφη·
“ Πᾶσαν ὧδ' ὑπόνοιαν ἐᾷν προσήκει·
„ Πᾶν αἴσθημ' ἀνανδρίας ὧδε θανέτω.
„ Εἰς τὸν τόπον ἤλθομεν, ἔνθ' ἔλεγόν σε
„ Ὄψεσθαι ψυχὰς ἀλγεινὰς καὶ δυστήνους,
„ Ἀπολεσάσας τὸ νοητικὸν δῶρον.“
Ἔπειτα δ' ἐνθεὶς τὴν χεῖρα τῇ χειρί μου,
Προσώπῳ φαιδρῷ καὶ θαῤῥεῖν με ποιοῦντι,
Εἰς τὰ μυστικὰ θεάματ' ἤγαγέ με.
Ἐκεῖ στεναγμοί, κλαυθμοί, γόοι μυρίοι
Ἀντεπίαχον δι' ἀέρος ἀνάστρου,
Ἐφ' οἷς δακρύειν ἐγὼ πρῶτον ἠρξάμην.
Γλῶσσαι ποικίλαι, φρικώδεις ὁμιλίαι,
Τῆς λύπης ὀλολυγμοί, τῆς ὀργῆς τόνοι,
Ὀξυφωνίαι βραγχαὶ καὶ χειρῶν κτύπος
Ἀπετέλουν θόρυβον περιδινοῦντα
Ἀεὶ περὶ τὸν ἄχρουν αἰθέρ' ἐκεῖνον,
Ὡς ἄμμος ἐκ λαίλαπος συστρεφομένη.
Ἐγὼ δὲ τὸν νοῦν ὅλος ἰλιγγιάσας,
Εἶπον· “ Προστάτα, τί ἔσθ' ὅπερ ἀκούω ;

„ Καὶ τίνες οἱ πάσχοντες ὑπ' ἀχθηδόνος;"
Ὁ δὲ πρὸς ἐμέ· "Τὴν οἰκτρὰν ταύτην τύχην
„ Ἔλαχον αἱ λυπηραὶ ψυχαὶ τῶν, ὅσοι
„ Ἔζησαν ἄνευ ψόγου κἄνευ ἐπαίνου.
„ Εἰσὶ σύμμικτοι τῷ κακῷ χορῷ τούτῳ
„ Ἄγγελοι γεγονότες μήτ' ἀποστάται
„ Μήτε πιστοί, πλὴν ἑαυτοῖς μόνοις φίλοι.
„ Ἐξώσθησαν δ' οὐρανῶν, οὓς ἐξημαύρουν,
„ Ἄδεκτοι δ' ἐν τῷ βαθεῖ μένουσιν Ἅδῃ,
„ Ὡς μὴ πρὸς τούτων οἱ κακοὶ δοξασθῶσι."
Κἀγώ· "Προστάτα, τί τὸ βαρῦνον πάθος
„ Αὐτοὺς καὶ ποιοῦν θρηνεῖν οὑτωσὶ σφόδρα;"
Ὁ δέ, "Διὰ βραχέων," εἶπεν, "ἐρῶ σοι·
„ Οὐκ ἔχουσ' οὗτοι τὴν τοῦ θανεῖν ἐλπίδα·
„ Αὐτῶν δ' ὁ βίος ἐστὶ ταπεινὸς οὕτως,
„ Ὥστε ποθοῦσι πᾶσαν ἑτέραν τύχην.
„ Οὐκ ἔμειν' ἐν τῷ κόσμῳ φήμη τις τούτων·
„ Οὔκ εἰσ' ἄξιοι δικαιοσύνης κ' οἴκτου.
„ Μὴ μελέτω σοι τούτων· βλέπε κἀπέρχου."
Ἐγὼ τότ' εἶδον ἀτενίσας σημαίαν

Δινοῦσαν καὶ τρέχουσαν οὕτως ὠκέως,
Ὥστ' ἀπαξιοῦν πᾶσαν ἐδόκει παῦλαν.
Ἐξόπισθεν δὲ σειρὰ μακρὰ τοιαύτη
Ἤρχετ' ἀνθρώπων, ὥστ' οὐδέποτ' ᾠόμην
Τὸν θάνατον τοσούτους ἐξαφανίσαι.
Ὡς δ' ἔγνων τούτων τινάς, τότ' ἀτενίσας
Ἀνθρώπου γνωστοῦ τὴν σκιὰν εἶδον, ὅστις
Ἔπραξ' ἄρνησιν ἀγενῶς τὴν μεγάλην.
Εὐθὺς κατενόησα, καλῶς τ' ἐπείσθην,
Ὡς ἥδε μερὶς ἀνθρώπων ἦν δυστήνων,
Ἀπεχθῶν Θεῷ καὶ Θεοῦ πολεμίοις.
Οἱ μήποτ' ὄντες ζωοὶ τάλανες οὗτοι
Ἦσαν πάγγυμνοι καὶ νυγμοῖς τετρωμένοι
Βρυουσῶν ἐκεῖ σφηκῶν τε καὶ μυώπων.
Ἐκ τῶν παρειῶν δ' αὐτῶν ἔῤῥεεν αἷμα,
Ὃ τοῖς ποσὶ σύμμικτον δάκρυσι πίπτον
Ὑπὸ σκωλήκων φρικτῶν ἀπεῤῥοφᾶτο.
Εἶτα δὲ τρέψας τὰς ὄψειςποῤῥωτέρω,
Εἶδον παρὰ τὰς ὄχθας ποταμοῦ πλῆθος·
Εἶπον δέ· “Προστάτα, νῦν ἐπίτρεψόν μοι,

„ Ὅπως γνῶ, τίνες οὗτοι, καὶ τίς ἀνάγκη
„ Αὐτοὺς ἐπείγει ταχέως διαβῆναι,
„ Ὡς διὰ φωτὸς ἀμυδροῦ διακρίνω."
Ὁ δὲ πρὸς ἐμέ· " Ταῦτα σὺ πάντα γνώσῃ,
„ Ὅταν ἐπιστήσωμεν ἤδη τὸ βῆμα
„ Ἐπ᾽ Ἀχέροντος ποταμοῦ τοῦ γοώδους."
Τότε κλίνας τὰς ὄψεις μετ᾽ αἰδοῦς κάτω,
Καὶ φοβούμενος μὴ γένωμαι δι᾽ ὄχλου,
Ἕως ποταμοῦ τοῦ λαλεῖν ἐπαυσάμην.
Ἀλλ᾽ ἰδοὺ δὴ πρὸς ἡμᾶς ἔρχετ᾽ ἐν σκάφει
Γέρων λευκόθριξ, τὴν πολιὰν ἀρχαῖος,
Κραυγάζων· " Οὐαὶ ὑμῖν, ψυχαὶ πανώλεις,
„ Οὐκ ἐλπὶς ὑμῖν οὐρανῶν ἰδεῖν φέγγος.
„ Ἥκω πορθμεύσων ὑμᾶς εἰς πέραν ὄχθην,
„ Εἰς αἰώνιον σκότος, εἰς πῦρ καὶ πάγον.
„ Σὺ δέ, τί ζητεῖς ἐνταῦθα, ψυχὴ ζῶσα;
„ Ἀποχωρίσθητι δὴ τῶν νεκρῶν τούτων."
Ἀλλ᾽ ὡς εἶδέ με βραδύνοντ᾽ ἐκχωρῆσαι,
Εἶπε· " Δι᾽ ἄλλης ὁδοῦ, δι᾽ ἄλλου πόρου,
„ Οὐκ ἐντεῦθεν, εὑρήσεις τρόπον ἐξόδου.

„ Πλὴν λεπτοτέρου χρήζεις πρὸς τοῦτο σκάφους."
Προστάτης δ' αὐτῷ· "Χάρων, μὴ παροργίζου·
„ Τοῦτ' ἔστι θέλημ' ἄνω τῶν δυναμένων
„ Ὅ,τι θέλουσι· περαιτέρω μὴ ζήτει."
Τότ' οὖν ἀτρεμεῖς τὰς πολύτριχας γνάθους
Ἔσχεν ὁ πορθμεὺς τοῦ πελιδνοῦ τενάγους,
Οὗ τοὺς ὀφθαλμοὺς περιεκύκλουν φλόγες.
Αἱ ψυχαὶ δ' αὗται γυμναὶ καὶ κεκμηκυῖαι,
Βρύχουσαι τοὺς ὀδόντας ἤλλαξαν χρῶμα,
Ὡς ἤκουσαν πορθμέως τοὺς σκληροὺς λόγους·
Ἐβλασφήμουν τὸν Θεὸν καὶ τοὺς γενέτας,
Ἀνθρώπων γένος, τόπον, χρόνον καὶ σπέρμα
Ἑαυτῶν καταγωγῆς γεννήσεώς τε.
Ἔπειτα προὐχώρησαν πᾶσαι συμμίγδην,
Κλαίουσαι πικρῶς, πρὸς τὴν ἀποφράδ' ὄχθην,
Ἔνθ' ἵξεται πᾶς, ὃς Θεὸν οὐ φοβεῖται.
Ὁ Δαίμων Χάρων ὀφθαλμοῖς καταπύροις
Σημαίνων, αὐτὰς συνηγέλαζε πάσας,
Παίων τῇ κώπῃ τὰς σπεύδειν βραδυνούσας.
Ὥσπερ ἐν φθινοπώρῳ τὰ φύλλα πίπτει

'Αλλεπάλληλα, μέχρις ὁ κλάδος τέλος
'Αποδῷ τῇ γῇ στολισμὸν αὐτοῦ πάντα,
Οὕτω τὸ κακοφυὲς 'Αδάμου σπέρμα
'Ορμᾷ πρὸς αὐτὴν τὴν ἀκτὴν ἐπαλλήλως
Διὰ νευμάτων, ὡς ὄρνις πρὸς τὴν κλῆσιν·
Οὕτω πρὸς τὸ κελαινὸν βαίνουσι κῦμα,
Καὶ πρὶν περαιωθῶσιν ἀντικρὺ πᾶσαι,
Ὅμιλος ἐκεῖ συσσωρεύεται νέος.
" Τέκνον μου," φησὶν ὁ πραΰς μοι προστάτης,
" Πάντες ἐν ὀργῇ τοῦ Θεοῦ τεθνηκότες
,, 'Εκ πάσης χώρας συναθροίζοντ' ἐνταῦθα,
,, Καὶ τὸν ποταμὸν σπεύδουσι διαβῆναι·
,, Κεντεῖ γὰρ αὐτοὺς θεία Δικαιοσύνη,
,, Τὸν φόβον αὐτῶν μετατρέπουσ' εἰς πόθον.
,, 'Εντεῦθεν οὔποτ' ἔβη ψυχὴ δικαία·
,, Εἰ δ' ὁ Χάρων κατὰ σοῦ νῦν αἰτιᾶται,
,, Νοεῖν δύνασαι, τί ποτ' αὐτὸ σημαίνει."
Ταῦτα δ' εἰπόντος, ἡ βαθύγνοφος χώρα
'Εσείσθη τόσον, ὥστ' ἔτι νῦν ἐκ τρόμου
'Η μνήμη μ' ὅλον ἱδρῶτι περιχέει.

Ἄνεμος πνεύσας ἐκ τῆς δακρυογόνου
Γῆς ταύτης διήστραψε φῶς ἐρυθρόχρουν,
Πᾶσαν αἴσθησιν ἐν ἐμοὶ καταλῦσαν·
Ἔπεσον δ' ὡς ἄνθρωπος κρατηθεὶς ὕπνῳ.

ΩΔΗ Δ΄.

Ὁ πρῶτος κύκλος.—Τὸ προαύλιον.—Οἱ ἀβάπτιστοι.—Ἡ εἰς Ἅδου κατάβασις τοῦ Χριστοῦ.—Οἱ μεγάλοι ποιηταί.—Ἐθνικοί τινες ἔνδοξοι.

Ἀπέσεισ᾽ ἀπὸ κρατὸς τὸν βαθὺν ὕπνον
Ἐκραγεῖσα φρικώδης βροντή, κἀνέστην
Αἴφνης, ὥσπερ τις, ὃς ἐξηγέρθη βίᾳ.
Τὰς ἀνειμένας ὄψεις πέριξ κινήσας,
Ὅλος ὄρθιος, ἀτενὲς διεσκόπουν
Τοῦ διαγνῶναι τὸν τόπον, ἔνθ᾽ ἱστάμην.
Καὶ μὴν εὗρον ἐμαυτὸν ἐπὶ τοῦ χείλους
Τῆς ὀδυνηρᾶς κοιλάδος τῆς ἀβύσσου,
Ἔνθ᾽ ἀντηχεῖ πάταγος ἀπείρων γόων.
Ζοφώδης ἦν, βαθεῖα καὶ νεφελώδης
Οὕτως, ὥστε τὸ βλέμμα πήξας εἰς βάθος
Οὐκ ἠδυνήθην πρᾶγμά τι διακρῖναι.
“Ἄγ᾽ εἰς τὸν κόσμον τοῦ σκότους καταβῶμεν,”
Ὁ ποιητής μοί φησιν, ἔξωχρος ὅλος·

“ Ἐγὼ μὲν πρῶτος, σὺ δὲ δεύτερος ἔσῃ.”
Ὡς δ' εἶδον αὐτὸν ἐγὼ κατωχριῶντα,
Εἶπον· “ Πῶς ἐλεύσομαι, σοῦ πτοουμένου,
„ Ὃς ἐν τοῖς ἐμοῖς ἐπαρήγεις μοι φόβοις ;”
Ὁ δὲ πρὸς ἐμέ· “ Τὸ τῶν πασχόντων ὧδε
„ Ἄχθος ἐπ' ἐμοῦ προσώπου διαγράφει
„ Τὸν οἶκτον αὐτόν, ὃν σὺ φόβον νομίζεις.
„ Ἄγωμεν· ἡ μακρὰ γὰρ ὁδὸς ἐπείγει.”
Οὗτος δὲ προβὰς ἤγαγέ μ' εἰς τὸν πρῶτον,
Ὃς τὴν ἄβυσσον περιτειχίζει, κύκλον.
Ἐκεῖ γοῦν, ὅσον ἐξ ἀκοῆς εἰκάσαι,
Οὐκ ἦσαν κλαυθμοί, πλὴν στεναγμοὶ ποιοῦντες
Τὸν αἰώνιον ὑποτρέμειν ἀέρα·
Ἐγίνοντο δ' ἐκ λύπης ἄνευ βασάνων,
Ἥνπερ ᾐσθάνοντ' ἐκεῖ μεγάλα πλήθη
Ἀναριθμήτων ἀνδρῶν, γυναικῶν, παίδων.
Πρὸς ἐμὲ δ' ὁ Προστάτης· “ Οὐκ ἐρωτᾷς με,
„ Τί πνεύματα ταῦτ' ἐστίν, ἃ βλέπεις ὧδε ;
„ Ἀλλ' οὖν θέλω σ' εἰδέναι, πρὶν προβῇς πρόσω.
„ Οὗτοι μὲν οὐχ ἥμαρτον, ἀλλ' ἡ χρηστότης

„ Οὐκ ἤρκεσ' αὐτοῖς, ὡς οὐ τετυχηκόσι
„ Τοῦ βαπτίσματος, θύρας τῆς σῆς λατρείας.
„ Γενόμενοι γὰρ πρὶν τῆς Χριστοῦ θρησκείας,
„ Οὐκ ἐλάτρευσαν τὸν Θεόν, ὥσπερ ἔδει·
„ Εἷς δ' ἐνθάδ' εἰμὶ κἀγὼ μεταξὺ τούτων.
„ Δι' ἐλλείψεις τοιαύτας, οὐχὶ δι' ἄλλο
„ Παῖσμ' ὀλώλαμεν· κόλασις δ' ἡμῖν μόνη
„ Τὸ διάγειν ἐν πόθοις ἄνευ ἐλπίδος."
Δεινὴν ᾐσθάνθην λύπην ἀκούσας ταῦτα·
Πολλοὺς γὰρ ἄνδρας ἀξίας ὑπερόχου
Ἔγνων ἐν τούτῳ τῷ κύκλῳ μετεώρους.
" Προστάτα κἄρχων ἐμός, λέγε μοι, λέγε,"
Εἶπον περὶ πίστεως βεβαιωθῆναι
Θέλων ἐκείνης, ἣ νικᾷ πᾶσαν πλάνην,
" Ἐξῆλθέ τίς ποτ' ἐντεῦθεν δι' ἰδίαν
„ Ἀξίαν ἢ δι' ἄλλου, γεγονὼς μάκαρ ;"
Ὁ δ' ἐννοήσας τῶν λόγων τὸ κρυψίνουν
Ἀπεκρίθη μοι· " Νέηλυς ἐνταῦθ' ἤμην,
„ Ὅτε καταβάντ' εἶδον ἰσχυρὸν ἄνδρα,
„ Ὃς ἐστεφανωμένος σημείῳ νίκης

„ Ἐξήγαγε τὴν σκιὰν τοῦ πρωτοπλάστου,
„ Υἱοῦ τ' Ἄβελ καὶ Νῶε καὶ Μωϋσέως
„ Εὐπειθοῦς νομοθέτου, καὶ πατριάρχου
„ Ἀβραὰμ καὶ Δαυῒδ τοῦ βασιλέως,
„ Ἰσραὴλ τε σὺν πατρὶ καὶ σὺν τοῖς τέκνοις
„ Καὶ σὺν Ῥαχήλ, ὑπὲρ ἧς ἔκαμε τόσον,
„ Καὶ πολλῶν ἄλλων, μακαρίους ποιήσας.
„ Θέλω δέ σε γινώσκειν, ὅτι πρὸ τούτων
„ Οὐδέν ποτ' ἀνθρώπινον ἐσώθη πνεῦμα."
Ταῦτα λέγοντος, ἐβαδίζομεν πρόσω,
Διαβαίνοντες ἐμμενῶς τὸν δρυμῶνα,
Δρυμῶνα, λέγω, πνευμάτων καταπύκνων.
Ἀλλ' οὐκ ἦν πολὺ μακρὰν ἡμῶν ὁ δρόμος
Ἐκεῖθεν εἰς κορυφήν, ὅτε πῦρ εἶδον
Διῆκον δι' ὀρφνώδους ἡμισφαιρίου.
Μικρὸν μὲν ἦμεν ἀφεστῶτες ἐκεῖθεν,
Ἀλλ' οὐ τοσοῦτον, ὥστε μὴ διακρῖναι,
Ὅτι τόπος ἦν οὗτος ἀνδρῶν ἐξόχων.
"Ὦ Σύ, σοφίαν καὶ τέχνην τιμῶν πᾶσαν,
„ Οὗτοι τίνες, οἳ τιμὴν ἔχουσι τόσην,

„Ὥστε συνεδρεύουσι χωρὶς τῶν ἄλλων;"
Ὁ δὲ πρὸς ἐμέ· "Τὸ μέγα κλέος τούτων
„Τὸ διαλάμψαν ἄχρι τῶν ἡμερῶν σου
„Ἔδωκ' αὐτοῖς θεόθεν τὴν χάριν ταύτην."
Τότε φωνὴ τοῖς ἐμοῖς ὠσὶν ἠκούσθη·
"Τὸν ἔξοχον ποιητὴν δεῦτε τιμᾶτε,
„Οὗπερ ἀποῦσ' ἡ σκιὰ νῦν ἐπιστρέφει."
Τῆς φωνῆς σιγησάσης, τέσσαρας εἶδον
Σκιὰς μεγάλας πρὸς ἡμᾶς ἐρχομένας,
Οὔτε λύπης ἢ χαρᾶς ἐχούσας ὄψιν.
Προστάτης δ' οὑμὸς ὧδ' ἤρξατό μοι λέγων·
"Ὅρα τοῦτον, ὃς ἐν χειρὶ φέρων ξίφος
„Ἔρχεται πρὸ τῶν τριῶν ὡσεί τις ἄναξ.
„Οὗτος Ὅμηρος, ποιητὴς κορυφαῖος·
„Ὁ δ' ἄλλος Ὁράτιος, σατυρογράφος·
„Ὁ τρίτος Ὀβίδιος, Λουκανὸς δ' οὗτος.
„Ὡς δὲ τούτων ἕκαστος συγκοινωνεῖ μοι
„Κλήσεως, ἣν ἤχησε νῦν φωνὴ μία,
„Τιμήν μοι παρέχουσι καλῶς ποιοῦντες."
Οὕτω συνελθὸν τὸ μέγ' εἶδον σχολεῖον

Τῆς ποιήσεως τοῦ πρώτου διδασκάλου,
Ὃς ὡς ἀετὸς ὑπερίπταται πάντων.
Μικρόν τι πρὸς ἀλλήλους διαλεχθέντες,
Ἐστράφησαν πρὸς ἐμὲ προσνεύσαντές μοι·
Προστάτης δ' οὑμὸς τούτοις ἐπεμειδία.
Ἀλλ' ἔτι πλείω τιμὴν ἀπένειμάν μοι,
Εἰς τὴν ἑαυτῶν προσλαβόντες χορείαν,
Ὥστ' ἤμην ἐν τηλίκοις ἀνδράσιν ἕκτος.
Μέχρι τοῦ φωτὸς ἐπορευόμεθ' οὕτω,
Λόγους περὶ πραγμάτων σιωπητέων
Ποιούμενοι, καθάπερ ἐκεῖ προσῆκεν.
Ἀφικόμεθ' εἰς πόδας εὐγενοῦς πύργου,
Τείχεσ' ὑψηλοῖς ἑπτάκις κυκλουμένου,
Ῥυακί τε διαυγεῖ περιειργμένου·
Τοῦτον δὲ διέβημεν ὡσεὶ γῆν χέρσον.
Δι' ἑπτὰ θυρῶν σὺν τοῖς σοφοῖς εἰσέβην·
Ἤλθομεν δ' εἰς λειμῶνα νεαρᾶς χλόης.
Ψυχαὶ σοβαραὶ τὰς ὄψεις ἐμβριθεῖς τε
Παρῆσαν ἐκεῖ, σεμνοπρεπεῖς τὴν θέαν,
Ὁμιλοῦσαι σπανίως φωνῇ γλυκείᾳ.

Μετέβημεν οὖν ἑστῶτες κατ' ἰδίαν
Εἰς τόπον αἰπύν, ἀσκεπῆ καὶ φεγγώδη,
Ὅθεν ἐθεωροῦμεν πάντας καὶ πάντα.
Ἐπὶ τῆς ποικιλανθοῦς ἐκεῖ δὴ χλόης
Τὰ μάλ' ἔξοχα πνεύματ' ἐφάνησάν μοι,
Ἅπερ ἰδὼν ἔνδοξον ἐμαυτὸν κρίνω.
Εἶδον Ἠλέκτραν σὺν πολλοῖς ἀκολούθοις,
Ἐν οἷς ἔγνων Ἕκτορα καὶ τὸν Αἰνείαν
Καὶ τὸν Καίσαρ' ἔνοπλον, δριμὺν τὸ βλέμμα.
Εἶδον Πενθεσίλειαν καὶ τὴν Καμίλλαν
Ἑτέρωθεν, βασιλέ' εἶδον Λατῖνον,
Συγκαθήμενον θυγατρὶ Λαυϊνίᾳ.
Εἶδον τὸν Βροῦτον, διώκτην Ταρκυνίου,
Λουκρητίαν, Μαρκίαν καὶ Κορνηλίαν,
Καὶ Σαλαδῖνον ἑστῶτα κατὰ μόνας.
Εἶτα τὰς ὄψεις ἀνυψώσας μικρόν τι
Εἶδον τὸν διδάσκαλον τῶν ἑδρευόντων
Ἐν τῇ τῶν φιλοσόφων οἰκογενείᾳ.
Πάντες θαυμάζουσ' αὐτόν, πάντες τιμῶσιν.
Ἐκεῖ δὴ τὸν Σωκράτη καὶ Πλάτων' εἶδον

Προϊστάμενον τῶν ἑστηκότων ἄλλων,
Δημόκριτον, τὸν κόσμον τῇ Τύχῃ δόντα,
Θάλητ', Ἀναξαγόραν καὶ Διογένη,
Ἐμπεδοκλῆ, Ζήνωνα σὺν Ἡρακλείτῳ.
Τὸν ποιότητος βαθὺν ἐταστὴν εἶδον,
Διοσκορίδην, φημί, μεθ' ὃν Ὀρφέα,
Τούλλιον, Λῖνον, ἠθικόν τε Σενέκαν,
Εὐκλείδην γεωμέτρην καὶ Πτολεμαῖον,
Ἱπποκράτη, Γαληνόν, σὺν δ' Ἀβισίνᾳ
Τὸν Ἀβεῤῥόην ὑπομνηματογράφον.
Ἁπάντων δ' οὐ δύναμαι ποιεῖσθαι μνείαν·
Τοῦ θέματος γὰρ τὸ μῆκος κατεπείγει,
Τῶν δ' ἔργων λόγοι πολλάκις ἐλαττοῦνται·
Ἡ δ' ἑξὰς τῶν ποιητῶν τρέπετ' εἰς δύο·
Σοφὸς δ' ἡγήτωρ δι' ἄλλης ὁδοῦ μ' ἄγει
Ἐξ ἠρεμοῦντος εἰς ἀέρα δονοῦντα·
Ἔρχομαι δ' ἔνθα φέγγος ἰδεῖν οὐκ ἔστιν.

ΩΔΗ Ε΄.

Ὁ δεύτερος κύκλος.—Ὁ Μίνως.—Ἡ ἀεικίνητος λαῖλαψ.—Οἱ ἁμαρτήσαντες ἐξ ἔρωτος.—Ἡ Φραγκίσκη.

Οὕτως ἐκ κύκλου κατέβημεν τοῦ πρώτου
Εἰς τὸν δεύτερον, ἔκτασιν μὲν ἐλάττω,
Ἀλλὰ πλείονα περιέχοντα γόον.
Ἵστατ᾽ ἐκεῖ φρικώδης καὶ βρέμων Μίνως·
Εἰς τὴν εἴσοδον τὰ πταίσματ᾽ ἐξετάζει,
Δικάζει, πέμπει, καθὰ περιειλεῖται.
Ὅταν γὰρ ἐναγής τις ψυχὴ πρὸς τοῦτον
Παρουσιασθῇ, πᾶσ᾽ ἐξομολογεῖται·
Αὐτὸς δὲ γνώστης ἁμαρτημάτων πάντων,
ᾍδου βλέπει τί μέρος ἑκάστῃ πρέπει.
Τοσάκις δὲ τὴν οὐρὰν συμπεριστρέφει,
Ὅσους ἂν βαθμοὺς κάτω πεμφθῆναι θέλῃ.
Ἀεὶ παρίσταντ᾽ ἔμπροσθεν αὐτοῦ πλεῖσται
Ἀμοιβαδὸν ἑκάστη τοῦ δικασθῆναι.

Λέγουσιν, ἀκούουσι, κρημνίζοντ' εἶτα.
"Ὦ σύ, τί ζητεῖς ἐν τῷδε τῷ κλαυθμῶνι;"
Εἶπέ μοι Μίνως, ὡς εἶδέ μ', ἀνακόπτων
Τὴν σειρὰν τηλικαύτης ὑπηρεσίας.
"Βλέπ' ἐπὶ τίνι θαῤῥεῖς, καὶ πῶς ἐμβαίνεις·
„Μή σ' ἀπατήσῃ τὸ πλάτος τῆς εἰσόδου."
Προστάτης δ' ἐμὸς αὐτῷ· "Τί δὴ κραυγάζεις;
„Μὴ κώλυ' αὐτοῦ τὴν τολμηρὰν πορείαν.
„Τοῦτ' ἔστι θέλημ' ἄνω τῶν δυναμένων
„Ὅ,τι θέλουσι· περαιτέρω μὴ ζήτει."
Νῦν ἄρχοντ' οἰμωκτικαὶ φωναὶ καὶ θρῆνοι
'Ακουόμενοι· νῦν ἀφικόμην ἔνθα
Πλεῖστοι κλαυθμοὶ πλήττουσι τὰς ἀκοάς μου,
Εἰς τόπον παντὸς φωτὸς ἐστερημένον,
Πλήρη μυκηθμῶν, ὡς θύελλα θαλάσσης
Ὑπ' ἐναντίων ἀνέμων κοπτομένης.
'Αεικίνητος ἡ ταρτάρειος λαῖλαψ,
'Επισύρουσα τὰ πνεύματ' ἐν τῇ δίνῃ,
Φέρει καὶ στρέφει, πλήττει καὶ μωλωπίζει.
Ὡς δ' ἂν φθάσωσιν εἰς τοῦ κρημνοῦ τὸ χεῖλος,

Ἐκεῖ φωναί, γογγυσμοί, λυγμοὶ καὶ γόοι,
Ἐκεῖ τὴν θείαν ἀρετὴν βλασφημοῦσι.
Τοιαύτας δὲ πάσχουσιν ὧδε βασάνους
Ὅσοι σαρκικὰς ἔπραξαν ἁμαρτίας,
Ὑποτάσσοντες τὸ λογικὸν τοῖς πόθοις.
Ὥσπερ δ' οἱ ψᾶρες φέροντ' ἐπὶ πτερύγων
Χειμῶνος ἀγεληδὸν πυκνοὶ κἀθρόοι,
Οὕτω τἄθλια πνεύματ' ἐκεῖν' ἡ δίνη
Ἄνω καὶ κάτω, τῇδε κἀκεῖσε φέρει.
Οὐκ ἔστιν ἐλπὶς αὐτοὺς παρηγοροῦσα,
Οὔτ' ἀνέσεως, οὔτε μείονος ἄλγους.
Ὡς δ' οἱ γέρανοι κλαγγίζοντες ποτῶνται,
Τὸν ἀέρα τέμνοντες ἐν μακροῖς στοίχοις,
Οὕτως εἶδον τὰς σκιὰς προσερχομένας,
Ἑλκομένας τ' ἐν κλαυθμοῖς ὑπὸ τῆς δίνης.
Ἐγὼ δ' εἶπον· "Προστάτα, τίνες εἴσ' οὗτοι,
„ Οὓς ὁ ζοφώδης ἀὴρ οὕτω κολάζει;"—
—"Ἡ πρώτη τούτων τῶν ψυχῶν, ἃς εἰδέναι
„ Θέλεις," εἶπέ μοι τότε, "πολλῶν ὑπῆρξεν
„ Αὐτοκράτειρα λαῶν ἑτερογλώσσων.

„ Τοσοῦτο δ' ἦν ἔκδοτος εἰς τὴν λαγνείαν,
„ Ὥστ' ἔθετο τἀσελγὲς θεμιτὸν νόμῳ,
„ Ἵνα μὴ ψόγον ἔχοι τῶν αὐτῆς τρόπων.
„ Ἔστι δὲ Σεμίραμις, ἥτις, ὡς λόγος,
„ Διεδέχθη τὸν αὐτῆς σύζυγον Νῖνον·
„ Ἦν δ' ἄνασσα γῆς, ἧς ὁ Σουλτάνος ἄρχει.
„ Ἡ δ' ἄλλη δι' ἔρωτα γέγον' αὐτόχειρ,
„ Πρὶν δ' ἦν ἄπιστος πρὸς Σιχαῖον θανόντα.
„ Ἡ τρίτη δ' ἐστὶν ἀκρατὴς Κλεοπάτρα."
Εἶδον Ἑλένην τὴν πηγὴν παθημάτων
Πολυετῶν· τὸν μέγαν Ἀχιλλέ' εἶδον,
Τὸν ὑπ' ἔρωτος ὀλωλότ' ἐπὶ τέλους.
Εἶδον Πάριν, Τριστανὸν καὶ σκιὰς πλέον
Χιλίων ὀνομαστὶ κατέδειξέ μοι,
Ἃς ἔρως ἐκ τῆς ζωῆς ἡμῶν ἀφεῖλεν.
Ἐπεὶ δ' ὀνομάζοντα τὸν ὁδηγόν μου
Ἤκουσα τὰς ἀρχαίας γυναῖκας κἄνδρας,
Οἶκτος εἶλέ με, καὶ σχεδὸν ἐναρκώθην.
Εἶπον· " Ποιητά, διαλεχθῆν' ἐπόθουν
„ Πρὸς τὰς σκιὰς τὰς δύο τὰς φερομένας

„ Συνδέτους οὕτως ἐλαφρῶς ἐπ' ἀνέμου."
Ὁ δ' εἶπε· "Ταύτας, ὅτ' ἔσοντ' ἐγγυτέρω,
"Ὄψει, καὶ τότε πρὸς Ἔρωτος, ὃς ἄγει
„ Αὐτάς, προσκάλει, καὶ προσελεύσονταί σοι."
Ὡς δ' ἐγγὺς ἡμῶν ἤχθησαν ὑπ' ἀνέμου,
Ὕψωσα φωνήν· "Ὦ ψυχαὶ τεθλιμμέναι,
„ Πρὸς ἡμᾶς ἔλθετ', εἰ μηδὲν τὸ κωλύον."
Ὡς περιστεραὶ καλούμεναι 'κ τοῦ πόθου
Πτέρυξι στεῤῥαῖς κἀνοικταῖς πρὸς γλυκεῖαν
Καλιὰν ὁμόσ' ἵπτανται δι' ἀέρος,
Οὕτω λιποῦσαι τὸ πλῆθος, ἔνθα μένει
Διδώ, πρὸς ἡμᾶς δι' ἀέρος λυμώδους
Ἦλθον, ἐνδοῦσαι τῇ προσπαθεῖ φωνῇ μου.
"Ὂν ζῶν εὐμενὲς καὶ χαρίεν, ὃς ἥκεις
„ Ὧδ' ὀψόμενος δι' ἀέρος ζοφώδους
„ Τοὺς αἵματι βάψαντας ἡμᾶς τὸν Κόσμον,
„ Εἴ ποθ' ὁ παντὸς Ἄναξ ἦν ἡμῖν εὔνους,
„ Ἐδεόμεθ' ἂν ὑπὲρ τῆς σῆς εἰρήνης,
„ Ἀνθ' ὧν ἐλεεῖς ἡμᾶς τῆς κακῆς τύχης.
„ Περὶ πάντων, ὧν ἐρωτῆσαι κἀκοῦσαι

„ Ἐπιθυμεῖς, ἐροῦμεν κἀκούσομέν σου,
„ Ἐφ' ὅσον γε νῦν, ἠρεμοῦντος ἀνέμου.
„ Ἡ πόλις οὖν τῆς ἐμῆς γενετῆς κεῖται
„ Παρ' ἀκτὴν τῆς θαλάσσης, ἔνθ' εἰρηνεύσων
„ Πάδος ἐκχεῖται σὺν ποταμοῖς συῤῥόοις.
„ Ἔρως ὁ νικῶν τὰς εὐγενεῖς καρδίας
„ Τοῦτον κατέσχεν οὗ γεγύμνωμαι κάλλους
„ Οὕτως, ὥστ' ἔτι δίδωμι μώμου δίκην·
„ Ἔρως, ὃς ἐρώμενον ἐρᾷν βιάζει,
„ Οὕτω με σφοδρῶς κατέλαβ' ὑπὲρ τούτου,
„ Ὥστ' οὐκέτι μ', ὡς ὁρᾷς, καταλιμπάνει·
„ Ἔρως ἤγαγεν ἡμᾶς εἰς ταὐτὸν τέλος·
„ Τὸν φονέ' ἡμῶν ἐκδέχεται Καΐνα."
Τούσδ' ἡμῖν οὗτοι προσεφθέγξαντο λόγους.
Ὡς δ' ἔγνων αὐτὰς τὰς ψυχὰς τετρωμένας,
Κλίνας τὴν ὄψιν, οὕτως ἱστάμην κύπτων,
Ἕως ὅτ' εἶπεν ὁ ποιητής· "Τί σκέπτῃ;"
Ἀπεκρίθην δὲ φωνήσας· "Οἴμοι τάλας!
„ Οἷοι λογισμοὶ γλυκεῖς, οἷός τε πόθος
„ Ἦγαγ' αὐτοὺς εἰς οὕτως ἀλγεινὸν τέρμα!"

Ἔπειτα στραφεὶς πρὸς αὐτὰς ἀπετάθην,
Λέγων· "Φραγκίσκη, φεῦ! τὰ μαρτύριά σου
„Ἔλεον ἐμποιεῖ μοι, κλαυθμοὺς καὶ λύπας.
„Ἀλλά μοι λέγ' ἐν καιρῷ τῶν γλυκυθύμων
„Στεναγμῶν, εἰς τί καὶ πῶς ἄρ' ὑμῖν ἔρως
„Γνῶν' ἐπέτρεψε τοὺς κινδυνώδεις πόθους."
Αὐτὴ δὲ πρός με· "Μείζων οὐκ ἔστι λύπη
„Ἢ τὸ διαμεμνῆσθαι καιροὺς ὀλβίους
„Ἐν δυστυχίαις· τοῦτ' οἶδ' ὁ σὸς ἡγήτωρ.
„Ἀλλ' εἰ τὴν πρώτην ἐπίστασθαι σὺ ῥίζαν
„Ἔρωτος ἡμῶν ἔφεσιν τόσην ἔχεις,
„Πράξω καθώς τις ἅμα κλαίει καὶ λέγει.
„Συνανεγινώσκομέν ποτε πρὸς χάριν,
„Πῶς ποτ' ἔρωτι Λαγκιλῶτος ἑάλω·
„Ἦμεν μοναχοί, μηδὲν ὑπονοοῦντες·
„Πολλάκις ἡμῶν τὤμματα συνηντήθη,
„Ὁ χρώς τ' ἐτράπη συναναγινωσκόντων·
„Ἀπώλεσε δ' ἡμᾶς ἓν μόνον χωρίον.
„Ὅτ' ἀνέγνωμεν, πῶς ὁ ποθεινὸς γέλως
„Ὑπ' ἐραστοῦ τοιούτου κατεφιλήθη,

„ Οὗτος, ὅνπερ οὐδέποτ' ἐγκαταλείψω,
„ Μ' ἐφίλησε τὸ στόμα συνάπας τρέμων.
„ Γαλεῶτος ἦν ἡ βίβλος ὅ, τε γράψας.
„ Ἔκτοτ' οὐκ ἀνέγνωμέν τι περαιτέρω."
Τῶν δύο σκιῶν ἡ μὲν ἔλεγε ταῦτα,
Ἡ δ' ἔκλαιε τοσοῦτον, ὥστ' ἐλεήσας
Ἐνόμισ' ὄντ' ἐμαυτὸν ἐγγὺς θανάτου,
Χαμαί τ' ἔπεσον, ὡς σῶμα νεκρὸν πίπτει.

ΩΔΗ ΣΤʹ.

Ὁ τρίτος κύκλος.—Ὁ αἰώνιος ὄμβρος.—Οἱ λαίμαργοι.—Κίακος.—Φλωρεντία.—Ἡ ἐσχάτη κρίσις.

Ὡς δ' ἀνέλαβον τὰς ταραχθείσας φρένας
Ἐκ συμπαθείας πρὸς τοὺς δύο συγγόνους,
Τῆς ὅλον μ' ἐμπλησάσης βαθείας λύπης,
Νέας στρεβλώσεις καὶ νέους στρεβλουμένους
Ὁρῶ μου πέριξ, καθ' ὅσον ἐκινούμην,
Εἴτ' ἀτενίζων, εἴτε τρεπόμενός που.
Εἰς τὸν τρίτον νῦν εἰμι κύκλον τὸν ὄμβρου
Ἐναγοῦς, αἰωνίου, ψυχροῦ, ῥαγδαίου,
Ἀεὶ τὸν αὐτὸν καταῤῥέοντος τρόπον.
Χάλαζα πυκνή, χιών, μελάγχρουν ὕδωρ
Ἄρδην ἐκχεῖται δι' ἀέρος ζοφώδους·
Ἡ δὲ βρεχομένη γῆ βρῶμον ἐξόζει.

Κέρβερος, ἀλλόκοτος θὴρ ἀπηνής τε,
Τρισὶν ὑλακτεῖ χάσμασιν, ὡσεὶ κύων,
Πρὸς τὴν πληθὺν τὴν ἐκεῖ βεβυθισμένην.
Ὄμματ' ἐρυθρά, πώγων' ἔχει γλοιώδη,
Γαστέρ' εὐρεῖαν καὶ γαμψώνυχας χεῖρας·
Σχίζει τὰ πνεύματ', ἐκδέρει καὶ μελίζει,
Ποιεῖ δ' αὔτ' ὄμβρος ὠρύειν, ὥσπερ κύνες·
'Αμύνονται θἀτέρου πλευροῦ θἀτέρῳ·
Οἱ δυστυχεῖς βέβηλοι στρέφοντ' ἀπαύστως.
Ὡς δ' ἡμᾶς εἶδε Κέρβερος βρωτὴρ μέγας,
Χάσματ' ἤνοιξε, χαυλιόδοντας φαίνων·
Αὐτοῦ δ' ἄτρομον οὐδὲν ἔμεινε μέλος.
Ὁ δ' ἡγήτωρ μου χερσὶν ἀνεῳγμέναις
Λαβὼν ἐκ τῆς γῆς χῶμα δραξὶν ἀφθόνοις,
Ἔῤῥιψεν ἐντὸς τῶν παμβόρων φαρύγγων.
Ὡς κύων πειναλέος ὑλακτῶν χάσκει,
Πραΰνεται δ', ὅτ' ἄγραν ὀδοῦσι δάκνει,
'Αγωνιῶν ἕως ἂν αὐτὴν βροχθίσῃ,
Οὕτως ἔπραξαν αἱ κακόσχημοι γνάθοι
Τοῦ Κερβέρου δαίμονος, ὠτοκοποῦσαι

Τὰς ψυχάς, ὥστε ποθεῖν κωφὰς γενέσθαι.
Ἐβαίνομεν ἐπ' αὐτῶν, πιεζομένων
Ὑπ' ὄμβρου δεινοῦ, πατοῦντες ὑπὸ πόδας
Τὰ φάσματ' αὐτῶν, σχῆμ' ἔχοντα σωμάτων.
Μίγδην κατὰ γῆς ἔκειντ', ἐξαιρουμένης
Μιᾶς, ἥτις ἀναστᾶσ' ἐκάθισ', ἅμα
Ὡς εἶδεν ἡμᾶς διαβαίνοντας πρόσθεν.
"Ὦ σύ," λέγει μοι, "διαβαίνων δι' Ἅιδου,
„Ἀναγνώρισόν μ', εἰ τοῦτο δυνατόν σοι·
„Ὑπῆρξας δὴ σὺ πρὸ τοῦ παῦσαί μ' ὑπάρχειν."
Κἀγὼ πρὸς αὐτόν· "Τἆχθος, ὃ νῦν αἰσθάνῃ,
„Ἴσως ἐξαλείφει σε τῆς ἐμῆς μνήμης,
„Ὥστε σε μηδεπώποτ' ἰδεῖν δοκεῖ μοι.
„Ἀλλά μοι σύ, τίς εἶ, λέγ', ὃς ἐβυθίσθης
„Ἐν τόπῳ τόσον δυστήνῳ καὶ βασάνοις,
„Ὧν, εἴγ' ἦν μείζων, οὐδεμί' ἐστι χείρων."
Ὁ δέ φησιν· "Ἐν τῇ σῇ πόλει τῇ πλήρει
„Ὑπερπλεονάζοντος ἀφθόνου φθόνου
„Ὤικουν ἐν ταῖς γαληναῖς ζωῆς ἡμέραις·
„Πολῖται δ' ὑμεῖς Κίακόν μ' ἐκαλεῖτε.

„ Διὰ τὸ κακὸν πάθος τῆς λαιμαργίας
„ Κατακόπτομ', ὡς ὁρᾷς, ἐνθάδ' ὑπ' ὄμβρου.
„ 'Εγὼ δὲ ψυχὴ τάλαιν' οὔκ εἰμι μόνη·
„ Τὴν αὐτὴν ποινὴν τίνουσιν αὗται πᾶσαι
„ Δι' ἁμάρτημα ταὐτόν·" κ' οὐδὲν πλεῖν εἶπεν.
'Απεκρίθην· "Κίακε, τὸ σὸν μὲν ἄλγος
„ Λυπεῖ με λίαν κ' εἰς δάκρυα κινεῖ με.
„ Εἰπέ μοι δ', εἰς τί καταντήσουσι τέλος
„ Τῆς διμεροῦς πόλεως οἱ νῦν πολῖται·
„ Εἴ τις ἐκεῖ δίκαιός ἐστι, καὶ πόθεν
„ Διχόνοι' αὐτὴν κατέλαβε τοσαύτη."
'Ο δὲ πρὸς ἐμέ· "Μετὰ μακροὺς ἀγῶνας
„ Εἰς αἵματ' ἐλεύσονται· τἄγριον μέρος
„ 'Εκδιώξει θἄτερον σὺν πολλῇ βλάβῃ.
„ Εἶτ' ἀντιπαθεῖν τοῦτο πάλιν δεήσει
„ Μεθ' ἡλίους τρεῖς πρὸς θρίαμβον θατέρου
„ Τῇ δυνάμει τινός, ὃς τὰ νῦν θωπέυει.
„ Οἶδ' ἐπὶ μακρὸν ἕξουσ' ἄνω τὸ κέρας,
„ Κρατοῦντες ὑπὸ δεινὰ τοὺς ἄλλους ἄχθη,
„ Καίπερ θρηνοῦντας καὶ καταισχυνομένους.

„ Δίκαιοι δ' εἰσὶ δύο, πλὴν οὐδεὶς τούτων
„ 'Ακούει. Τύφος, φθόνος, φιλαργυρία,
„ Εἴσ' αἱ καύσασαι τὰς καρδίας τρεῖς δᾷδες."
Ὧδ' ἐπέρανε τὸν ὀδυρτικὸν λόγον.
Κἀγώ· "Διδάξαι μ' ἔτι νῦν δέομαί σου
„ Καὶ παρασχεῖν μοι χάριν ὀλίγων λόγων.
„ Φαρινάτης, Τεγγαῖος, οἱ παμμεγέθεις,
„ 'Ιακὼβ 'Ρουστικούκης, 'Αριγός, Μόσκας,
„ Λοιποί τ' ἐν ἔργοις ἀγαθοῖς ἐγνωσμένοι,
„ Εἰπέ μοι, ποῦ νῦν εἰσιν· αὐτούς μοι δεῖξον·
„ Ποθῶ γὰρ μαθεῖν, εἴπερ αὐτοὺς εὐφραίνει
„ Οὐρανός, ἢ κολάζει πικρίαις ᾞδης."
'Ο δ' εἶπεν· "Οὗτοι μεταξὺ μελαντάτων
„ Ψυχῶν τυγχάνουσ', ὡς ἁμαρτήματ' ἄλλα
„ 'Εβύθισ' αὐτοὺς κάτω, καθάπερ ὄψει.
„ 'Αλλ' ὅταν ἐπανίδῃς τὸν γλυκὺν κόσμον,
„ Παρακαλῶ σε τοῖς ἐμοῖς μ' ἀναμνῆσαι.
„ Οὐ λέγω σοί τι πλέον, οὔτ' ἀπαντῶ σοι."
Τἀτενῆ βλέμματ' ἔτρεψε λοξῶς τότε·
Μικρὸν ἔτ' εἶδέ μ', εἶτα κεφαλὴν κλίνας

Ἔπεσε πάλιν ἐν μέσῳ τυφλῶν ἄλλων.
Πρός με δ' Ἡγήτωρ. "Οὐκ ἐγεροῦντ' ἐντεῦθεν
,, Οὗτοι, πρὶν ἀγγελικὴ σάλπιγξ ἠχήσῃ,
,, Ὅτ' αὐτοῖς ἐπισκήψει τρομερὰ δίκη·
,, Ἕκαστος ἀνευρήσει τὸν λυπρὸν τάφον,
,, Πάλιν ἕξει τὴν αὑτοῦ μορφὴν καὶ σάρκα,
,, Κρίσεώς τ' αἰωνίου φωνὴν ἀκούσει."
Ἐν τούτοις διέβημεν διὰ φρικώδους
Ἐκ σκιῶν κὤμβρου μικτῆς διόδου βάδην,
Συλλαλοῦντές τι περὶ ζωῆς μελλούσης.
"Ἄρχων," τότ' εἶπον, "ἆρα τὰ δεινὰ ταῦτα
,, Αὐξηθήσεται μετὰ κρίσιν ἐσχάτην,
,, Ἢ μείον' ἔσετ', ἢ καθὼς νῦν δριμέα;"
Αὐτός δ'· "Εἰς τὴν σὴν ἐπάνελθε σοφίαν,
,, Καθ' ἣν ὅσον τις ἐντελέστερος εἴη,
,, Τοσοῦτον αἰσθάνεται χαρᾶς ἢ λύπης.
,, Ἀλλ' εἰ καὶ γένος τὸ κατάρατον τόδε
,, Μήποτ' ἀφίξετ' εἰς ἐντέλειαν. ἔσται
,, Ἐντελέστερον ἢ πρὶν μετὰ τὴν κρίσιν."
Διήλθομεν τὸν κύκλον συνομιλοῦντες

Περὶ παντοίων, ἅπερ οὐ χρὴ νῦν λέγειν.
Ἀφικόμεθα δ' ἔνθ' ἔδει καταβῆναι,
Κἀκεῖ Πλούτων' εὕρομεν ἐχθρὸν τὸν μέγαν.

ΩΔΗ Ζ΄.

Ὁ τέταρτος κύκλος.—Ὁ Πλούτων.—Οἱ φιλάργυροι καὶ οἱ ἄσωτοι.—Ἡ Τύχη.—Ἡ Στύξ.—Ὁ πέμπτος κύκλος.—Οἱ ὀργίλοι.

"Ἀ! παπαὶ Σατάν, παπαὶ Σατάν, Ἀλέππε!"
Κράζειν ἤρξατο Πλούτων φωνῇ βραγχώδει.
Ὁ δὲ χαρίεις σοφός, ὃς τὰ πάντ' οἶδε,
Θαῤῥύνων μ' εἶπε· " Μὴ βλάψῃ σ' ὁ σὸς φόβος·
,, Ὁποιονδήποτε γὰρ κράτος ἂν ἔχῃ,
,, Οὐ κωλύσει σε τοῦ κρημνοῦ καταβῆναι."
Ἔπειτα στραφεὶς πρὸς τῷδηκότα χείλη
Εἶπ' αὐτῷ· " Σῖγα, κατηραμένε λύκε·
,, Χώνευσον καταπιὼν τὴν σαυτοῦ λύσσαν.
,, Οὐκ ἄνευ λόγου τὸ καταβῆν' ἐνθάδε.
,, Τοῦτ' ἄνω θέλουσ', ἔνθα Μιχαὴλ δίκην
,, Ἔλαβέ ποτε τῆς ἀλαζόνος βίας."
Ὡς ἐξ ἀνέμου τἄρμεν' ἐξογκωθέντα
Συγκαταπίπτει, τῶν ἱστῶν ἐαγέντων,

Οὕτω πέπτωκε τἀνηλεὲς θηρίον.
Εἰς βυθὸν κατέβημεν τέταρτον οὕτω,
Βαίνοντες πρόσω πρὸς τὴν ὄχθην ἀβύσσου
Τῆς βροχθιζούσης τοῦ Παντὸς κακὰ πάντα.
Θεία Δικαιοσύνη! Τίς συσσωρεῦσαι
Τόσα δεινὰ δύναιτ' ἄν, ὅσ' ἐκεῖθ' εἶδον;
Πῶς οὕτως ἡμᾶς τὰ πταίσματα σπαράττει;
Ὡς ἄνω Χαρύβδεως ὁρμῶν τὸ κῦμα
Κατὰ κύματος, ὑπὸ τούτου συνθλᾶται,
Οὕτω συγκρούεσθ' αὐτοὺς ὧδε συμβαίνει.
Πλείους ἤπερ ἀλλαχοῦ ψυχὰς ὧδ' εἶδον,
Ἔνθεν κἀκεῖθεν μετ' ὠρυγμῶν μεγάλων
Φορτία κυλιούσας διὰ τοῦ στήθους.
Συνεπαίοντ' ἀλλήλαις· εἶτα δ' ἑκάστη
Περιεστρέφετ', ἀπεχώρει τ' ὀπίσω,
Κράζουσαι· "Πρὸς τί τηρεῖς;" καὶ "πρὸς τί ῥίπτεις;"
Οὕτως ἐπανήρχοντο διὰ τοῦ κύκλου
Ἑκασταχόθεν πρὸς τἀπέναντι μέρος,
Ἐπᾴδουσαι τἄτιμον αὐτῶν τοῦτ' ᾆσμα.

Εἶτ' ἐπέστρεφ' ἑκάστη διαδραμοῦσα
Ἡμικύκλιον αὐτῆς πρὸς κροῦσιν ἄλλην.
Ἐγὼ δὲ συγκινηθεὶς ἐν τῇ καρδίᾳ
Εἶπον· "Προστάτα, νῦν δίδαξόν με, τίνες
„ Οὗτοί γ' εἰσιν, εἴ τ' ἦσαν ἱερεῖς πάντες,
„ Οὓς μεσοκούρους ἐπ' ἀριστερὰ βλέπω."
Ὁ δ' εἶπε· "Πάντες ὑπῆρξαν παραβλῶπες
„ Τὸν νοῦν τοσοῦτον ἐν τῷ προτέρῳ βίῳ,
„ Ὥστ' οὐδὲν εἶχον μέτρον ἐν ταῖς δαπάναις.
„ Τόδ' ὁ τούτων ὑλαγμὸς σαφῶς δεικνύει,
„ Ὅτ' ἔρχοντ' εἰς τὰ δύο μέρη τοῦ κύκλου,
„ Ἔνθ' ἀντίθετα πταίσματ' αὐτοὺς χωρίζει.
„ Οὗτοι δ', ὧν τὴν κεφαλὴν θρὶξ οὐ καλύπτει,
„ Ἦσαν ἱερεῖς, Πάπαι καὶ Καρδινάλεις,
„ Ὧν ὑπέρμετρος ἦν ἡ φιλαργυρία."
Κἀγώ· "Προστάτα, μεταξὺ τούτων ἔδει
„ Εἰδέναι κἀμέ τινας, οἵπερ τοιούτοις
„ Ἐλαττώμασιν ἦσαν ἐῤῥυπωμένοι."
Ὁ δὲ πρὸς ἐμέ· "Κενὴν ἐλπίδα τρέφεις·
„ Ὁ βεβηλώσας αὐτοὺς ἀφανὴς βίος

,, Ἀφανεῖς κἀγνώστους νῦν καθίστησ' ὧδε.
,, Ἐλεύσοντ' ἀεὶ πρὸς τὰς δύο συγκρούσεις·
,, Οἱ μὲν τὴν πυγμὴν ἀναστήσοντ' ἐκ τάφου
,, Κλειστὴν ἔχοντες, οἱ δὲ ξυραίαν κόμην.
,, Κακῶς διδόντες καὶ τηροῦντες τοῦ κόσμου
,, Ἐστέρηνται τοῦ καλοῦ, καὶ νῦν εἰς μάχην
,, Εἰσίν, ἣν λόγοις οὐκ ἔχω διαγράψαι.
,, Νῦν βλέπεις, τέκνον, ὅσον ἐστὶ βραχείας
,, Διαρκείας τἀγαθὰ πάντα τῆς Τύχης,
,, Δι' ἅπερ τἀνθρώπινον κυκᾶται γένος.
,, Πᾶς γὰρ ὁ νῦν ὑπάρχων ὑπὸ σελήνην
,, Χρυσὸς καὶ πρὶν ὑπάρξας ταῖς κεκμηκυίαις
,, Ψυχαῖς ταῖσδ' οὐκ ἂν μικρὰν ἄνεσιν δῴη."
Κἀγώ· " Προστάτα, νῦν λέγε μοι καὶ τοῦτο·
,, Ἡ Τύχη τίς ἆρ' ἔστιν, ἧς ποιῇ μνείαν;
,, Καὶ πῶς ἐν χερσὶ τοῦ κόσμου τἀγάθ' ἔχει;"
Ὁ δ' ὑπέλαβεν· "Ὦ φρενῶν ἄμοιρ' ὄντα!
,, Ὦ τῆς ἀποτυφλούσης ὑμᾶς ἀγνοίας!
,, Ἄκουε νῦν ὅ,τι σοι βούλομαι φράζειν.
,, Ἐκεῖνος, ὃς σοφίᾳ πάντων προέχει,

„ Ὁ τοὺς οὐρανοὺς κτίσας καὶ διευθύνων
„ Οὕτως, ὥστε πᾶν μέρος πρὸς πᾶν προσλάμπει,
„ Τὸ φῶς ἐξ ἴσου τοῖς πᾶσι διανέμων,
„ Ὁμοίως διώρισεν ἐν τοῖς γηΐνοις
„ Ἀξιώμασιν ὑπουργοὺς κἀρχηγέτας,
„ Ἵνα τὰ φροῦδ' ἀγαθὰ χρόνῳ μετάγῃ
„ Ἐκ λαοῦ 's λαόν, ἐκ φυλῆς ἐς ἑτέραν,
„ Ὅσην κἂν προμήθειαν βροτοὶ ποιῶνται.
„ Ἐθνῶν γὰρ τὸ μὲν ἄρχει, τὸ δ' ὑποκύπτει,
„ Κατὰ τὴν ἀπόφασιν μόνον τῆς Τύχης
„ Τῆς κρυπτομένης, ὡς ὄφις ὑπὸ χόρτον.
„ Ἡ σὴ σύνεσις κατ' αὐτῆς οὐκ ἰσχύει·
„ Αὕτη προνοεῖ, κρίνει καὶ διεξάγει
„ Τὸ κράτος αὐτῆς, ὡς πᾶσ' ἄλλη θεότης.
„ Τῶν μεταβολῶν αὐτῆς οὐκ ἔστι παῦλα·
„ Ἀνάγκη ποιεῖ ταχεῖαν αὐτὴν εἶναι,
„ Ἐναλλὰξ ἄλλων συχνῶς ἀνταπαιτούντων.
„ Ἥδ' ἐστίν, ἥπερ ἐπὶ σταυροῦ κρεμᾶται
„ Ὑπ' ἐκείνων, οὓς ἐπαινεῖν αὐτὴν ἔδει·
„ Καὶ δὴ κακολογοῦσιν αὐτὴν ἀδίκως·

„ Ἀλλ' ἔστ' εὐδαίμων καὶ μομφὰς οὐκ ἀκούει.
„ Μειδιῶσ' ἐφ' οἷς πρῶτον ὑπῆρξεν εὔνους,
„ Στρέφει τὴν σφαῖραν, εὐδαίμων τ' οὖσα χαίρει.
„ Καταβῶμεν νῦν εἰς μείζους ἀγωνίας·
„ Ἤδη κλίνει πᾶς ἀστήρ, ὃς ἀνυψοῦτο
„ Ὅτ' ἦλθον· πλέον δ' ἀπηγόρευται μένειν."
Διέβημεν εἰς κύκλου τὴν ἄλλην ὄχθην
Ἐπὶ ζεούσης πηγῆς, καταῤῥεούσης
Εἰς βόθρον ἐκ τῶν ῥοῶν διορυχθέντα·
Τὸ δ' ὕδωρ ἦν θολερόν, μᾶλλον δὲ μέλαν.
Ἡμεῖς δ' ἐν μέσῳ βορβορωδῶν κυμάτων
Ἤλθομεν κάτω δι' ὁδοῦ τινος ἄλλης.
Ἕλος τὸ λεγόμενον Στὺξ σχηματίζει
Ὁ λυπρὸς οὗτος ῥύαξ, ὅταν κατέλθῃ
Εἰς τῶν λυμωδῶν κἀμαυρῶν ἀκτῶν πόδας.
Ἐγὼ δ' ἐκεῖ θεωρῶν ἀτενῶς εἶδον
Ἐν τῷ βορβόρῳ 'κείνῳ σκιὰς ἐμπήλους,
Παγγύμνους καὶ τὴν ὄψιν ἠγριωμένας.
Αἵδ' ἔτυπτον οὐ μόνον χερσὶν ἀλλήλας,
Ἀλλὰ κεφαλῇ καὶ ποσί τε καὶ στήθει,

'Οδοῦσί τ' ἀπέτεμνον μεληδὸν σάρκας.
'Ο δ' 'Ηγήτωρ εἶπέ μοι· "Νῦν, τέκνον, εἶδες
,, Τὰς ψυχὰς τῶν ὑπ' ὀργῆς κυριευθέντων.
,, Τοῦτο δὲ σ' ὡς βέβαιον βούλομ' εἰδέναι,
,, Ὅτι πληθὺς ὧδ' ὑπόβρυχα στενάζει,
,, Τὰς ἐπιπολῆς πομφόλυγας ποιοῦσα,
,, Ὡς ὁθένποθεν στρεφόμενος νῦν βλέπεις.
,, Πεπηγότες ἐν πηλῷ κράζουσιν· ' "Ἦμεν
, ,, Ἐν αἰθέρι τάλανες ἡλιοχάρμῳ,
, ,, Καπνὸν ἔνδοθι φέροντες ἀκηδίας·
, ,, Νῦν δὲ πάσχομεν ἐν μέλανι βορβόρῳ." '
,, Ἐπῳδὴν τήνδε κορκορυγοῦσ' ἐν βρόγχοις,
,, Οὐ δυνάμενοι λέξεις προφέρειν ὅλας.
Οὕτως οὖν διήλθομεν ἕλους δυσώδους
Τὴν μέσον τούτου καὶ τῆς ὄχθης ἀψῖδα,
Ἀτενίζοντες πρὸς τοὺς βορβοροφάγους·
Ἤλθομεν δ' ἐπὶ τέλους εἰς πόδας πύργου.

ΩΔΗ Η'.

Ὁ Φλεγύας.—Φίλιππος Ἀργέντης.—Ὁ ἕκτος κύκλος.—Ἡ πυρπολουμένη Διτός πόλις.—Οἱ πεπτωκότες ἄγγελοι.—

Λέγω κεθεξῆς, ὅτι, πρὶν ἀφικέσθαι
Εἰς τοὺς πόδας ὑψηλοῦ πύργου δὴ 'κείνου,
Πρὸς τὴν ὀροφὴν ἀντείναντες τὰς ὄψεις,
Εἴδομεν δύο φαινούσας μικρὰς φλόγας,
Ἄλλην τ' ἀμειβομένην πρὸς τὸ σημεῖον,
Οὕτω μακρόθεν, ὥστ' οὐκ ἦν διακρῖναι.
Στραφεὶς δὲ πρὸς τὴν πηγὴν πάσης σοφίας,
Εἶπον· " Τί δηλοῖ τοῦτο; τί δέ γε τἆλλο
,, Πῦρ ἀνταποκρίνεται; τίνες δ' οἱ δρῶντες;"
Ὁ δ' εἶπεν· " Ἐπὶ τῶν ῥυπαρῶν κυμάτων
,, Τί συμβήσεται, δύνασ' ἰδεῖν αὐτίκα,
,, Ἢν μή γ' ἕλους ὁ καπνὸς ταῦτ' ἀποκρύψῃ."
Οὔποτε τόξον ἐξηκόντισε βέλος
Ἀέρα διασχίζον οὕτως ὠκέως,

Ὅπως μικρόν τι σκάφος, ὅπερ τότ' εἶδον
Πρὸς ἡμᾶς ἐρχόμενον ἐπὶ κυμάτων,
Κυβερνώμενον ὑφ' ἑνὸς μόνου ναύτου
Κράζοντος· "Νῦν ὧδ' ἦλθες, ψυχὴ κακόφρων!"
—"Ὦ Φλεγύα, Φλεγύα, μάτην κραυγάζεις
„Ὡς πρὸς τὸ παρόν·" εἶπεν οὑμὸς Προστάτης·
„Οὐχ ἕξεις ἡμᾶς πλὴν ὡς πέραν τῆς λίμνης."—
Οἷος ὁ γνοὺς ἑαυτὸν ἀπατηθέντα
Σκληρῶς, εἶτα δὲ βαθέως δυσχεραίνει,
Τοιοῦτος ἦν Φλεγύας ὀργὴν δαμάσας.
Οὑμὸς δ' Ἡγήτωρ ἐν τῷ σκάφει κατέβη,
Ἑαυτοῦ τ' ἐγγὺς ἔπειτ' εἰσήγαγέ με·
Μόνον δὲ μετ' ἔμ' ὁ λέμβος ἐπληρώθη.
Ὡς δ' εἰσήλθομεν ἔσω τοῦ σκάφους ἄμφω,
Τἀρχαῖον πορθμίδιον ἔβαιν' ὀρύσσον
Αὔλακας ἤπερ ἄλλοτε βαθυτέρας.
Ἐν ᾧ 'τρέχομεν ἐπὶ νεκρᾶς θαλάσσης,
Παρέστη τις πρὸς ἡμᾶς βορβόρου πλήρης
Λέγων· "Τίς εἶ σύ; πῶς δ' ἥκεις πρὶν τῆς ὥρας;"
Κἀγὼ πρὸς αὐτόν· "Ἥκω μέν, ἀλλ' οὐ μένω·

„ Σὺ δὲ τίς ; πῶς τ' ἐγένου δυσειδὴς οὕτως ;"
Ὁ δ' ἀπεκρίθη· "Βλέπεις ὥς εἰμι κλαίων."
Κἀγὼ πρὸς αὐτόν· "'Αγωνιῶν καὶ κλαίων
„ 'Αείποτ' εἴης, ὦ κατάρατον πνεῦμα·
„ Γινώσκω γάρ σε, καίτοι βορβόρου πλήρη."
Τότ' ἀμφοῖν χερσὶ προσηρτήθη τῷ σκάφει·
Αὐτὸν δ' ἀπέκρουσ' ὁ συνετὸς Προστάτης
Λέγων· "Ἄπιθ' ἐντεῦθεν σὺν κυσὶν ἄλλοις."
Εἶτ' ἀγκάλας περιθεὶς ἐμῷ τραχήλῳ,
Καί με φιλήσας εἶπε· "Ψυχὴ γενναία,
„ Μάκαιρ' ἡ μήτηρ, ἥτις ἐκύησέ σε.
„ 'Αλαζὼν οὗτος ὑπῆρξεν ἐν τῷ κόσμῳ·
„ Οὐκ ἔστ' ἐσθλότης κοσμοῦσ' αὐτοῦ τὴν μνήμην·
„ Τοὔνεκ' αὐτοῦ 'στιν ἡ σκιὰ μανιώδης.
„ Πόσοι νῦν ἄνω βασιλεῖς οἴοντ' εἶναι,
„ Οἵπερ μενοῦσιν ἐν πηλῷ τῷδ' ὡς χοῖροι,
„ Αἶσχος μετὰ θάνατον φρικτὸν λιπόντες !"
Κἀγώ· "Προστάτα, λίαν ἰδεῖν ἐπόθουν
„ Αὐτὸν βυθιζόμενον ἐν τῷ βορβόρῳ
„ Τῷδε, πρὶν ἐξέλθωμεν ἔτι τῆς λίμνης."

Ὁ δὲ πρὸς ἐμέ· “ Τὴν ὄχθην οὐ μὴ παύσῃ
„ Βλέπων, καὶ θυμηδίαν, ἣν ποθεῖς, ἕξεις·
„ Δεῖ γάρ σε χαίρειν ἐπὶ τῷ πόθῳ τούτῳ.”
Μετὰ δ’ ὀλίγον σπαραχθέντ’ αὐτὸν εἶδον
Ὑπὸ τῶν ἐν βορβόρῳ τυρβαζομένων,
Καὶ Θεὸν ἔκτοτ’ εὐλογῶ καὶ δοξάζω.
Πάντες ἔκραζον· “ Κατ’ ’Αργέντου Φιλίππου!”
Τὸ Φλωρέντειον δ’ αὐτὸ μανικὸν πνεῦμα
Καθ’ ἑαυτοῦ τοὺς αὐτοῦ ’στρεφεν ὀδόντας.
’Εκεῖ ’λίπομεν αὐτόν, κοὐδὲν πλεῖν λέξω.
’Αλλ’ εὐθὺς τἀμὰ γόος ἐξέπληξ’ ὦτα,
’Ατενέσι τ’ ὀφθαλμοῖς ἔμπροσθεν εἶδον.
Ὁ δ’ ἀγαθὸς Προστάτης εἶπε. “ Νῦν, τέκνον,
„ Ἡμῶν ἔστ’ ἐγγὺς τοὔνομα Διτὸς πόλις,
„ Λαοῦ πλήθουσα δεινοπαθῶν ἀστῶν τε.”
Κἀγώ· “ Προστάτα, βλέπω δὴ τὰς μεσγίδας
„ Αὐτῆς ἐρυθραινούσας ἐν τῇ κοιλάδι,
„ Ὡσεὶ τοῦ πυρὸς ἄρτι διασωθείσας.”
Ὁ δ’ εἶπε· “ Τἀέναον πῦρ καταφλέγει
„ Ἔντοσθεν, διδὸν αὐταῖς ἐρυθρὸν χρῶμα

„ Ἐν τῷ κατωτέρῳ τῷδ', ὡς ὁρᾷς, Ἅδῃ."
Εἰς βαθείας νῦν ἀφικόμεθα τάφρους,
Τἄθλιον ἄστυ 'κεῖνο περικυκλούσας·
Τὰ τείχη δ' ἐῴκεσαν εἶν' ἐκ σιδήρου.
Μόλις δὲ μετὰ μακρὰν περιοδείαν
Ἤλθομεν ἔνθ' ὁ πορθμεὺς φωνῇ μεγάλῃ,
" 'Εξέλθετ' " ἔκραξ', " εἴσοδός ἐστιν ὧδε."
Εἶδον ἐπὶ τῶν πυλῶν πλείους χιλίων
Οὐρανόθεν πεσόντας, καὶ λυσσαλέως
Κράζοντας· " Τίς ὅδ', ὅσπερ μὴ θανὼν ἔτι,
„ Διὰ τοῦ κράτους τῶν νεκρῶν διαβαίνει ;"
Οὑμὸς δ' Ἡγήτωρ ἐποίησε σημεῖον,
Αὐτοῖς μυστικῶς διαλεχθῆναι θέλων.
Τότε μικρὸν ἀνέντες τὴν πολλὴν λύσσαν
Εἶπον· " 'Ελθὲ σὺ μόνος· οὗτος δ' ἀπίτω,
„ Ὃς ἐτόλμησεν ἐλθεῖν εἰς κράτος τόδε.
„ Ἐπανελθέτω δι' ἑῆς μωρᾶς τρίβου,
„ Τρόποις οἷς οἶδε· σὺ δὲ μενεῖς ἐνταῦθα
„ Ὁ τόνδ' ἀγαγὼν εἰς τὴν ἀθλίαν χώραν."
Ἀναγνῶστα, νόησον ὁποίαν θλίψιν

'Εποίησάν μοι λόγοι φρικώδεις οὕτως·
'Επεπείσμην γὰρ οὔποτ' ἂν ἐπιστρέψειν.
"'Ηγήτωρ φίλ', ὃς πλέον ἤπερ ἑπτάκις
„Προστασίαν μοι παρέσχες, καὶ κινδύνων
„Φρικτῶν, ἐν οἷς εὑρέθην, ἐξήγαγές με,
„Μὴ ἐγκαταλίπῃς με νῦν," εἶπον, "οὕτω
„Δύστηνον· ἀλλ' εἴγ' ἡμῖν ἰέναι πρόσω
„Οὐκ ἔνι, τάχος χωρήσωμεν ὀπίσω."
'Ο δὲ Προστάτης, ὃς ἤγαγέ μ' ἐκεῖσε,
Εἶπε· "Μὴ φοβοῦ· τὴν πορείαν κωλῦσαι
„Οὐδεὶς ἡμῖν δύναται βουλῇ τοῦ Δεῖνος·
„'Αλλὰ πρόσμενέ μ' ὧδε, καὶ θάῤῥος ἔχε
„'Εν πνεύματί σου, κἀγαθὴν τρέφ' ἐλπίδα·
„Οὐ γὰρ ἐάσω σ' ἔνδον τοῦ κάτω κόσμου."
Οὕτως ἀπέρχετ' ἐκεῖ καταλιπών με
'Ο γλυκὺς πατήρ· ἐγὼ δ' ἐν ἀμφιβόλῳ
Μένω· τὸ Ναὶ γὰρ καὶ τ' Οὔ νοῦν μου σαλεύει.
Τί ποτ' εἶπ' αὐτοῖς οὐ 'δυνάμην ἀκοῦσαι.
Οὐ πολὺ δὲ μετ' αὐτῶν ἔμειν'· ἀλλ' οὗτοι
'Υπεχώρησαν ἐπειγομένως ἔσω.

Οἱ δ' ἡμῶν ἐχθροὶ κατέκλεισαν τὰς πύλας
Κατὰ πρόσωπον αὐτοῦ μείναντος ἔξω,
Καὶ βραδεῖ τῷ βήματι στραφέντος πρός με.
Τοὺς δ' ὀφθαλμοὺς πρὸς τὴν γῆν, τὰς ὀφρῦς τ' ἄνευ
Εὐθύμου ῥοπῆς, ἔλεγ' ὑποστενάζων·
"Τίς ἔκλεισέ μοι τοὺς πολυαλγεῖς δόμους;"
Εἶτα πρὸς ἐμέ· "Καίτοι παρωργισμένον
„Ὁρᾷς με, θάῤῥει· νικήσω τὸν ἀγῶνα,
„Εἴπερ τι πρὸς ἄμυναν δράσουσιν ἔνδον.
„Οὐκ ἔστιν αὐτῶν ἥδ' αὐθάδεια νέα·
„Ἔδειξαν αὐτὴν ἐν ἧττον κρυπτῇ θύρᾳ,
„Ἥτις ἔτι νῦν ἄνευ κλῄθρων ὑπάρχει.
„Ἐπ' αὐτῆς εἶδες ἐπιγραφὴν θανάτου·
„Ἐξ αὐτῆς ἤδη τὸν κρημνὸν καταβαίνει,
„Τοὺς κύκλους διαβαίνων ὀπαδῶν ἄνευ
„Ὁ Δεῖνα, δἰ οὗ τἄστυ προσιτὸν ἔσται."

ΩΔΗ Θ'.

Ἐριχθώ.—Αἱ τρεῖς Ἐριννύες.—Ὁ οὐρανόθεν πεμφθεὶς ἄγγελος.—Οἱ καίοντες τάφοι.—Οἱ αἱρεσιάρχαι.

Ἡ τὴν ὄψιν μου μεταβαλοῦσ' ὠχρότης
Τὸν Προστάτην ἰδόντος παλινδρομοῦντα,
Ἐβίασ' αὐτὸν τὸ τάραγμ' ὑποκρύψαι.
Ἔμεν' ἀτρεμής, ὡς ἄνθρωπος ἀκούων·
Οὐ γὰρ ἠδύνατ' ἄγειν μακρὰν τὸ βλέμμα
Δι' ἀέρος ζοφώδους πυκνῆς τ' ἀχλύος.
"Ἀλλ' ὅμως ἡμῖν νικᾷν δεῖ τὸν ἀγῶνα,"
Εἶπεν· "εἰ μὴ . . . τὸν Δεῖνα βοηθὸν ἔχω . . .
„Ὦ, πόσον ἐλθεῖν βοηθήσων βραδύνει!"
Ὅτι τὴν διάνοιαν ἤθελε κρύπτειν,
Σαφῶς διέγνων ἀπὸ λόγων ὑστέρων,
Διαφερόντων τῶν πρώτων αὐτοῦ λόγων.
Ἀλλ' οὐχ ἧττον ὁ τρόπος οὗτος τοῦ λέγειν
Ἐφόβησέ με, τὰς κεκομμένας λέξεις

'Εννοῶν ἴσως χειρόνως ἢ προσῆκεν.
'Ηρώτησ' αὐτόν· " 'Εν τῷ βαράθρῳ τούτῳ
„ Καταβαίνει τις ἐκ τῶν τοῦ πρώτου κύκλου,
„ Ἔνθ' ἐστὶ ποινὴ μόνη παῦσις ἐλπίδος;"
'Ο δ' ἀπεκρίθη· "Σπανιάκις συμβαίνει
„ 'Εξ ἡμῶν τινα κατερχόμενον ὧδε
„ Φοιτᾷν εἰς τόπους, οὓς ἐγὼ διοδεύω.
„ 'Αληθὲς ὅτι κατέβην ἅπαξ ὧδε,
„ Παρακινηθεὶς ὑπ' 'Εριχθοῦς σχετλίας,
„ Τὰς σκιὰς ἐν σώμασιν ἐπαγαγούσης.
„ 'Η σὰρξ ἐξ ἐμοῦ μόλις ἀπεγυμνώθη,
„ Ὅτ' ἔσω μ' εἰσήγαγε τοῦ τείχους τούτου,
„ Ἵν' ἐξ 'Ιούδα κύκλου σκιὰν ἐκβάλω.
„ 'Ο βαθύτατος, ζοφωδέστατος τόπος
„ 'Απώτατός τε τοὐρανοῦ 'στιν ἐκεῖνος.
„ Οἶδα καλῶς τὴν ὁδόν· ἥσυχος ἔσο.
„ Τὸ δ' ἀτμίζον δυσώδη τοῦτ' ὀσμὴν ἕλος
„ Πάντοθεν περικυκλοῖ τὴν οἰκτρὰν πόλιν,
„ Ἔνθ' οὐκ ἔστ' ἡμᾶς εἰσελθεῖν ἄνευ πάλης."
Κἆλλά τιν' εἶπεν, ὧνπερ οὐκ ἔχω μνήμην·

Ὁ γὰρ ὀφθαλμὸς ὅλον ἐφείλκυσέ με
Πρὸς τὸν ὑψηλὸν πύργον, φλογεράν τ' ἄκραν,
Ἔνθ' αἴφνης εἶδον ὀρθὰς παρισταμένας
Τὰς αἱμοφύρτους Ἅδου τρεῖς Ἐριννύας,
Ἐχούσας γυναικείαν μορφὴν καὶ τρόπους.
Ἦσαν ἐξ ὕδρων πρασίνων ἐζωσμέναι·
Ὄφεις κεράστας ἀντὶ πλοκάμων εἶχον,
Διαδέοντας τοὺς ἀγρίους κροτάφους.
Αὐτὸς δ', ὃς καλῶς ἔγνω τὰς θεραπαίνας
Τῆς βασιλίσσης τῶν αἰωνίων θρήνων,
"Ἰδέ," λέγει μοι, "τὰς ὠμὰς Ἐριννύας·
„Μέγαιρ' ἐστίν, ἣν ὁρᾷς ἐξ εὐωνύμων,
„Ἀληκτὼ δ' ἡ κλαίουσα πρὸς δεξιάν σου,
„Τισιφόνη δ' ἐν μέσῳ." Ταῦτ' εἰπὼν ἔστη.
Ὄνυξι διέσχιζον αὐτῶν τὰ στήθη·
Ταῖς χερσὶν ἐτύπτοντο κράζουσαι σφόδρα,
Ὥστ' ἠγκασάμην τὸν ποιητὴν ἐκ φόβου.
"Μέδουσ', εἰς λίθον μεταβάλωμεν τοῦτον,"
Ἐκραύγαζον, πρὸς ἡμᾶς βλέπουσαι κάτω.
"Τιμωρεῖν ἔδει τὴν προσβολὴν Θησέως."—

—“ Στρέψον ὀπίσω καὶ κάλυψαι τὴν ὄψιν·
„ Ἢν γὰρ ἡ Γοργὼ φανῇ, σὺ δ᾽ αὐτὴν ἴδῃς,
„ Οὐκ ἔστιν ἐλπίς σ᾽ ἐπανελθεῖν ποτ᾽ ἄνω.”—
Ταῦτ᾽ εἶπεν ὁ Προστάτης· οὐ μόνον δ᾽ οὗτος
Ἔστρεψ᾽ ἔμ᾽, ἀλλὰ παρὰ τὰς ἐμὰς χεῖρας
Καὶ ταῖς ἑαυτοῦ ᾽κάλυψέ μου τὰς ὄψεις.
Ὑμεῖς δ᾽, οἵπερ ἔχετε σώας τὰς φρένας,
᾽Εννοεῖτε, τίς ὑποκρύπτετ᾽ ἰδέα
Ὑπὸ τὸν πέπλον τῶν παραδόξων στίχων.
᾽Εφέρετ᾽ ἤδη θολῶν ἐπὶ κυμάτων
Πάταγος ἤχου πλήρους φοβεροῦ τρόμου,
Ὅστις ἐποίει τρέμειν ἄμφω τὰς ὄχθας,
Παρόμοιος ἀνέμῳ σφόδρα βιαίῳ,
Ὃς ὁρμώμενος δι᾽ ἀντίθετα θάλπη
Σείει δρυμῶνας, καὶ χωρὶς ἀναπαύλης
᾽Αποσπᾷ, θραύει, σφενδονίζει τοὺς κλάδους·
Αὐθαδῶς βαίνει κονιορτὸν προπέμπων,
Καὶ φεύγειν ποιεῖ καὶ θῆρας καὶ ποιμένας.
᾽Εκκαλύψας μοι τὰς ὄψεις εἶπε· “ Τεῖνον
„ Τὸ βλέμμα πρὸς τὸν ἀφρὸν ἀρχαῖον τόνδε,

„Ἔνθα καθορᾷς τὴν ἄχνην παχυτέραν."
Ὡς οἱ βάτραχοι συναντηθέντες ὄφει
Ἐχθρῷ φεύγουσιν ἅπαντες δι' ὑδάτων,
Μέχρις ὑπὸ τὴν ἰλὺν κατορυχθῶσι,
Μυρίας ἐγὼ ψυχὰς εἶδον ἐνόχους
Οὕτω φευγούσας ἔναντί τινος, ὅστις
Διέβαινε τὴν Στύγα ποσὶν ἀβρόχοις.
Ἡ δ' ὄψις αὐτοῦ τὴν ἀχλὺν ἀπεσόβει,
Τὴν ἀριστερὰν προεκτείνοντος χεῖρα,
Ὡς ἂν εἰ μὴ κάματον ᾐσθάνετ' ἄλλον.
Εὖ δὲ γνοὺς ὅτι θεόθεν ἀπεστάλη,
Εἶδον πρὸς τὸν Προστάτην· ὁ δ' ἔνευσέ μοι
Ἀτρέμας ἔχειν, κἀκεῖνον προσκυνῆσαι.
Ὢ, πόσον ἐδόκει μοι μηνιθμοῦ πλήρης!
Ἐλθὼν δὲ πρὸς τὴν πύλην μικρᾷ ῥαπίδι
Ἀνέῳξ' αὐτὴν εὐθὺς ἀνεμποδίστως.
"Ὦ φαῦλον γένος διωχθὲν οὐρανόθεν,"
Ἤρξατο λέγων πρὸ τοῦ φρικτοῦ θυρῶνος,
"Πόθεν ὑμῖν οἴησις ἐπῆλθε τόση;
"Πῶς λακτίζετε πρὸς τὴν βουλὴν ἐκείνην,

„Ἥσπερ ὁ σκοπὸς οὔποτε ματαιοῦται,
„Ἀλλ' ἢ βασάνους ηὔξησ' ὑμῶν πολλάκις;
„Πρὸς τί προσκρούειν ὑμᾶς τῷ πεπρωμένῳ;
„Κέρβερος ὑμῶν, ὡς ὑμᾶς δεῖ μεμνῆσθαι,
„Ἄτριχον ἔτι λαιμὸν καὶ πώγων' ἔχει."
Ἔπειτ' ἐστράφη διὰ τῆς βορβορώδους
Ὁδοῦ, μηδὲν προσειπὼν ἡμῖν, ὅμοιος
Ἀνδρὶ τὸν νοῦν ἔχοντι πάμπαν πρὸς ἄλλα
Ἢ τοὺς ἔμπροσθεν αὐτοῦ παρεστηκότας.
Ἐτρέψαμεν δὲ τὸ βῆμα πρὸς τὴν χώραν,
Ἀσφαλισθέντες ἐκ τῶν ἁγίων λόγων·
Ἔσω τότ' εἰσήλθομεν ἄνευ πολέμου.
Ἐγὼ δὲ θεάσασθαι ποθῶν τὴν ἔνδον
Τοῦ τείχους κατάστασιν, τίς ποτ' ἂν εἴη,
Ἅμ' ὡς εἰσέβην, τὸ βλέμμ' ἔτεινα πέριξ.
Εἶδον πάντοσε μεγάλην πεδιάδα,
Πλήρη βασάνων καὶ δεινῶν ἀχθηδόνων.
Ὡς ἐν Ἄρλαις ἔνθ' ὁ Ῥοδανὸς λιμνάζει,
Ὡς ἐν Πόλᾳ πλησίον κόλπου Φλανώνης,
Ὃς Ἰταλίας κλείων ὅρια λούει,

Οἱ τάφοι τὴν γῆν ἀνώμαλον ποιοῦσι,
Τοιαύτη τις ἦν ἡ πεδιὰς ἐκείνη,
Πλὴν ὅτι πικροτέραν παρεῖχε θέαν.
Διὰ τῶν τάφων ἐσκεδάζοντο φλόγες,
Κατακαίουσαι τόσον, ὥστε σιδήρῳ
Οὐκ ἔστι τέχνη διδοῦσα θέρμην ἴσην.
Τὰ πώματ᾽ αὐτῶν ἦν πάντ᾽ ἠωρημένα·
Ἐξήρχοντο δὲ κλαυθμοὶ γοώδεις οὕτως,
Ὥστ᾽ ἦν βέβαιον δυστήνους ἐκεῖ πάσχειν.
Κἀγώ· "Προστάτα, τίνες αἱ ψυχαὶ ᾽κεῖναι,
„Αἵπερ ἐντὸς μνημάτων ἐντεθαμμέναι
„Ἀναπέμπουσι στεναγμοὺς ὀδυνώδεις;"
Ὁ δ᾽ ὑπέλαβεν· "Εἰσὶν αἱρεσιάρχαι
„Σὺν τοῖς ὀπαδοῖς αἱρέσεως ἑκάστης.
„Πλέον ἢ φρονεῖς πλήρεις εἰσὶν οἱ τύμβοι.
„Ὧδ᾽ ὅμοιος ὁμοίῳ σύναμα κεῖται·
„Τὰ μνήματα δ᾽ οὐκ ἔστιν ἔμπυρ᾽ ὁμοίως."
Εἶτα πρὸς τὴν δεξιὰν χεῖρα τραπέντες
Ἔβημεν μέσον τῶν τειχῶν καὶ μαρτύρων.

ΩΔΗ Ι'.

Οἱ αἱρετικοί — Φαρινάτης. — Γουΐδος. — Καυαλκάντης. — Φρεδερίκος ὁ Β'.

Νῦν διὰ στενοῦ προβαίνει μονοπάτου
Μέσον τοῦ τείχους τῆς γῆς καὶ τῶν μαρτύρων
Οὑμὸς Προστάτης· ἐγὼ δὲ κατὰ νῶτα·
"Ὦ πρωτεύων ἀρετῇ, σύ μ' ἄγεις," εἶπον,
" Διὰ δυσσεβῶν, ὡς ἀρέσκει σοι, κύκλων.
„ Λέγε μοι, καὶ τοὺς ἐμοὺς πλήρωσον πόθους.
„ Ἰδεῖν τοὺς ἐν τοῖς τάφοις τούτοις κειμένους
„ Δύναταί τις; ἤδη γὰρ πάντ' ἀπηρμένα
„ Τὰ πώματ' ἐστίν, οὐδεὶς δ' αὐτοὺς φυλάσσει."
Ὁ δ' ἔφη· " Πάντες ἔσοντ' ἐγκεκλεισμένοι,
„ Ὅταν ἐξ Ἰωσαφὰτ ἔλθωσιν ὧδε
„ Ἐν τοῖς σώμασιν, ἃ κατέλιπον ἄνω.
„ Ἐντεῦθέν ἐστιν ὁ νεκρῶν Ἐπικούρου
„ Καὶ τῶν ὀπαδῶν αὐτοῦ τῶν δοξαζόντων,

„Ὅτι σὺν τῷ σώματι χὴ ψυχὴ θνήσκει.
„Ὡς πρὸς δ' ὅ, τι πυνθάνῃ, σαφηνιεῖ σοι
„Ἓν τῶν μνημάτων τούτων αὐτίκα μάλα,
„Καί σου τὸν πόθον, ὅν μοι κρύπτεις, πλη-
ρώσει."
Κἀγώ· "Προστάτα, τὴν ἐμὴν οὔ σοι κρύπτω
„Καρδίαν, εἰ μὴ θέλων λέγειν ὀλίγα.
„Σὺ γὰρ οὐχ ἅπαξ ἐδίδαξάς με τοῦτο."
—"Ὦ Τοῦσκε, τὴν τοῦ πυρὸς διιὼν χώραν
„Ζωὸς καὶ λέγων οὕτω σώφρονας λόγους,
„Ὤφελες ἐν τῷ τόπῳ τῷδ' ἀναμεῖναι.
„Ἡ λαλιά σου ποιεῖ σε δῆλον ὄντα
„Πολίτην τῆς εὐγενοῦς κείνης πατρίδος,
„Ἧ λίαν ὀλέθριος ἴσως ὑπῆρξα."—
Τὴν φωνὴν ταύτην ἐξερχομένην αἴφνης
Ἤκουσ' ἐξ ἑνὸς τῶν τάφων, καὶ δὴ μᾶλλον
Φοβηθεὶς προσήγγισα τοὐμοῦ Προστάτου.
Ὁ δ' εἶπέ μοι· "Στράφητι· τί πράττεις ἤδη;
„Ἴδ' ἐκεῖ Φαρινάτην ἀνορθωθέντα·
„Ἐκ ζώνης ἄνω νῦν ὅλον αὐτὸν ὄψει."

Ταῖς τούτου δὴ τὰς ἐμὰς προσήλωσ᾽ ὄψεις·
Ὁ δ᾽ ἀνηγέρθη τῷ στήθει καὶ μετώπῳ,
Ὡς ἂν εἰ περιφρονῶν πολὺ τὸν Ἅδην.
Εὐθὺς δ᾽ αἱ τοῦ Προστάτου πρόθυμοι χεῖρες
Ὤθησάν με πρὸς αὐτὸν διὰ τῶν τάφων,
Λέγοντος· "Σαφεῖς ἔστωσαν οἱ σοὶ λόγοι."
Ἐπεὶ δ᾽ ἀφίγμην πρὸς τοὺς πόδας τοῦ τάφου,
Εἶδέ με μικρόν, καὶ σχεδὸν ὑπερόπτως
Ἠρώτα· "Τίνες ἦσαν οἱ σοὶ γενάρχαι;"
Ἐγὼ δὲ ποθῶν εὐπείθειαν δεικνύναι
Οὐδὲν ὑπέκρυψ᾽, ἀλλ᾽ εἶπον αὐτῷ πάντα.
Ὁ δ᾽ ὑψώσας τὰς ὄψεις ὀλίγον ἄνω,
Εἶπεν· "Ἐχθροὶ τρομεροὶ βεβαίως ἦσαν
„ Ἐμοί, μερίδι τ᾽ ἐμῇ κἀμοῖς γενάρχαις·
„ Ἀλλὰ δὶς αὐτοὺς διεσκέδασα πάντας."—
—"Εἰ δὶς ἐδιώχθησαν, δὶς ἐπανῆλθον,"
Ἀπεκρίθην, "πάντοθεν συναγερθέντες·
„ Ἀλλ᾽ οὐκ ἔμαθον οἱ σαυτοῦ τὴν σὴν τέχνην."—
Τότ᾽ ἠγέρθη πρὸς τἄκρα τἀνοικτοῦ τάφου
Σκιὰ τῆς ἄλλης ἐγγὺς μέχρις ὑπήνης,

Ἀναστᾶσ', ὡς ᾠόμην, ἐπὶ γονάτων.
Περιέβλεψε πέριξ, ὡς ἂν εἰ θέλων
Ἰδεῖν, εἰ τυχὸν σὺν ἐμοί τις ἦν ἄλλος.
Ἀλλ' ὅτε πᾶσαν ἀπώλεσεν ἐλπίδα,
Κλαίουσ' εἶπεν· "Εἰ σὺ νῦν διέρχῃ ταύτην
„Τὴν ζοφώδη φυλακὴν τῇ σῇ σοφίᾳ,
„Ποῦ 'στιν υἱός μου; καὶ σὺν σοὶ πῶς οὐκ ἔστι;"
Καγὼ πρὸς αὐτόν· "Οὐκ ἀπ' ἐμαυτοῦ δεῦρο
„Ἦλθον· ἤγαγέ μ' ὁ 'κεῖσε περιμένων,
„Ὃν τάχ' οὐκ εἶχεν ἐν τιμῇ σὸς Γουΐδος."
Ἥ τε λαλιὰ καὶ τὸ τοῦ πάθους ὕφος
Αὐτοῦ τοὔνομα γνωστὸν κατέστησάν μοι·
Διόπερ αὐτῷ σαφῶς ἀπεκρινάμην.
Αἴφνης ὀρθωθεὶς ἀντέκραξε· "Πῶς εἶπας,
„Εἶχεν; ἐν τοῖς ζῶσι νῦν οὐκ ἔστιν ἔτι;
„Τὰς ὄψεις τ' αὐτοῦ γλυκὺ φῶς οὐ φαιδρύνει;..."
Βραδύτητα δέ τινα παρατηρήσας
Εἰς ἣν ἐπόθει θερμῶς ἀπόκρισίν μου,
Ὑπτίως ἔπεσ', οὐκέτι φανεὶς ἔξω.

Ὁ δ' ἄλλος μεγάθυμος, δι' ὃν ἐστάθην
Πρῶτον, οὐδαμῶς μετέβαλε τὴν ὄψιν,
Οὔτε λαιμὸν κινήσας, ἢ πλευρὰν κάμψας·
"'Αλλ' εἰ," τὸν πρῶτον εἶπ' ἀναλαβὼν λόγον,
"'Εκεῖνοι κακῶς ἐξέμαθον τὴν τέχνην,
„ Τοῦτ' ἀνιᾷ με πλέον τοῦ τάφου τοῦδε.
„ Πλὴν οὐ πεντηκοντάκις ἐξαναλάμψει
„ Ὄψιν ἡ τῇδε κυβερνῶσα Κυρία,
„ Καὶ γνώσῃ, τί πότ' ἐστιν ἡ τέχνη 'κείνη.
„ Εἴθε ποτ' εἰς τὸν γλυκὺν ἀνέλθοις κόσμον,
„ Εἰπέ μοι, πῶς ὁ λαὸς ἐκεῖνος οὕτω
„ Σκληροὺς κατὰ τῶν ἐμῶν τίθησι νόμους."
Καγώ· "Σφαγαὶ καὶ ῥοαὶ πολλῶν αἱμάτων,
„ Αἱ διαφοινίξασαι τὴν γῆν 'Αρβίας,
„ Τοιάνδ' ἤνεγκαν ἐν ἐκκλησίᾳ ψῆφον."
Κεφαλὴν σείσας, ὑποστενάζων εἶπεν·
"Οὐκ ἤμην μόνος, οὔτ' ἂν βεβαίως ἄνευ
„ Αἰτίας σὺν τοῖς ἄλλοις συνεπορεύθην.
„ 'Αλλ' ἐγὼ μόνος, ὅτ' εἶδον ἐγνωκότας
„ Πάντας κατεδαφίσαι τὴν Φλωρεντίαν,

„Ἦμυν' αὐτῇ τότ' ἀποκεκαλυμμένως."
—"Εἴθ' ἄνεσιν εὕροι σὸν σπέρμα," τότ' εἶπον
'Εκλιπαρῶν, " λῦσόν μοι σύναμμα τόδε
„ Τὸ συμπλέκον ἐνταῦθα τὴν ἐμὴν φρένα.
„Ἔοικεν, ὡς λέγουσιν, ὑμᾶς προβλέπειν
„Ἅπερ ὁ χρόνος σὺν ἑαυτῷ παράγει,
„ Εἶναι τ' ἀγνῶτας τῶν παρόντων πραγμάτων."—
—" Βλέπομεν," εἶπε, τὰ κείμενα μακρόθεν,
„Ὥσπερ ὁ τὴν ὅρασιν ἔχων ἀμβλεῖαν·
„ Τόσον ἔτι φῶς Θεὸς ἡμῖν παρέχει.
„ 'Αλλ' ὡς πρὸς τἀγγὺς καὶ τὰ τετελεσμένα
„ ' Εκλείπει τὸ φῶς ἡμῖν· ἂν δ' ἀλλαχόθεν
„ Μηδὲν μάθωμεν, ἀγνοοῦμεν τὰν κόσμῳ.
„ Δύνασ' ἐννοεῖν νῦν, ὅτι νεκρὰ πᾶσα
„Ἔσεται παντάπασιν ἡμῶν ἡ γνῶσις,
„ Ὁπόταν κλεισθῇ τοῦ μέλλοντος ἡ θύρα."—
Τότε μετανοήσας τὸ πραχθὲν σφάλμα
Εἶπον· " 'Ερεῖς νῦν ἐκείνῳ τῷ πεσόντι,
„ Ὡς ἔτ' ἔστ' αὐτοῦ τὸ τέκνον ἐν τοῖς ζῶσιν·
„ Εἰ δ' ἀποκριθῆν' αὐτῷ βραδὺς πρὶν ἤμην,

„ Φράσον, ὅτι τοῦτ᾽ ἐγένετο, διότι
„ Ἐμελέτων ἣν ἔλυσας ἀπορίαν."
Ἐπειδὴ δ᾽ οὑμὸς Προστάτης μ᾽ ἀνεκάλει,
Ἠρώτησα τὴν σκιὰν κατεσπευσμένως,
Τίνες μετ᾽ αὐτῆς συνέκειντ᾽ ἐν τῷ τάφῳ.
Ὁ δ᾽ εἶπε· "Σὺν χιλίοις καὶ πλέον κεῖμαι
„ Ὧδ᾽, ἐν οἷς Φρεδερίκος ὁ δεύτερός τε
„ Χὠ Καρδινάλις· τοὺς ἄλλους παραλείπω."
Ἔπειτα κατεκλίθη· κἀγὼ τὸ βῆμα
Πρὸς τὸν ποιητὴν ἔτρεψα κἀνεπόλουν
Τοὺς ἀπειλητικούς μοι δοκοῦντας λόγους.
Ὁ δ᾽ ἐκινήθη, καί μοι καθ᾽ ὁδὸν εἶπε.
"Τί δοκεῖς οὕτω περιαλγής;" Ἐπεί τε
Πρὸς τοὐρώτημα δεόντως ἀπεκρίθην,
"Ἐν μνήμῃ τήρει τὰ κατὰ σοῦ ῥηθέντα,
„ Ὡς ἤκουσας," ὁ σοφὸς διέταξέ μοι.
"Νῦν ὡδὶ βλέπε . . ." Καὶ τὸν δάκτυλον τείνας,
Εἶπεν· "Ὅτ᾽ ὄψει τὴν γλυκεῖαν ἀκτῖνα
„ Ἐκείνης, ἧς ὀφθαλμὸς καθορᾷ πάντα,
„ Παρ᾽ αὐτῆς γνώσῃ τὴν βίου σου πορείαν."

'Επ' ἀριστερὰ τότ' ἔτρεψε τὸν πόδα·
Καὶ τὸ τεῖχος λιπόντες ἔβημεν μέσην
Εἰς μονόπατον ἄγοντα πρὸς κοιλάδα,
Ἧς ἱκνεῖτ' ἄχρις ἡμῶν ἡ δυσωδία.

ΩΔΗ ΙΑ΄.

Ἀναστασίου τάφος.—Περιγραφὴ τοῦ λοιποῦ μέρους τοῦ Ἅ̨δου.

Ἐπ' ἄκρας ὄχθης ὑψηλῆς, συγκειμένης
Ἐκ πετρῶν ἀποῤῥώγων μεγάλων κύκλῳ,
Ἀφίγμεθ' εἰς σωρείαν ἀλγεινοτέραν.
Ἐκεῖ δ' ἕνεκα τῆς φρικτῆς δυσωδίας,
Ἐκ τῆς βαθείας ἀνιούσης ἀβύσσου,
Ὄπισθεν τοῦ πώματος μεγάλου τάφου
Ἔστημεν· ἐπ' αὐτοῦ δὲ γράμματ' ἀνέγνων
Λέγοντ'· "Ἀναστάσιον Πάπαν φυλάττω
„Ὃν ἔσυρ' ἔξω τῆς εὐθείας Φωτῖνος."
—"Βράδιον ἡμᾶς καταβῆναι προσήκει,
„Ἵν' ἐθισθῶμεν πρῶτον εἰς τὴν δυσώδη
„Ἀποφοράν· εἶτα γὰρ οὐκ ἔσται βλάβη."

Ταῦτ' εἶπεν ὁ Προστάτης· ἐγὼ δὲ πάλιν·
"Πρὸς ἀνταμοιβὴν εὑρέ, πῶς μὴ παρέλθῃ
„Ὁ καιρὸς μάτην." Ὁ δ' ἐπαναλαμβάνει·
"Ἰδοὺ τί φρονῶ, τέκνον· ἐντὸς τῶν λίθων
„Τούτων τρεῖς εἰσι κυκλίσκοι διαφόρων
„Βαθμῶν ἕκαστος, οἷς διῆλθες ὁμοῖοι,
„Ἅπαντες μεστοὶ πνευμάτων καταράτων.
„Ἀλλ' ἵν' ἔπειτ' ἀρκῇ σοι μόνον ἡ θέα,
„Γνῶθι, διὰ τί καὶ πῶς εἰσι δεσμῶται.
„Τὸ τέλος πάσης θεοστυγοῦς κακίας
„Ἔστ' ἀδικία, καὶ πᾶν τοιοῦτο τέλος
„Βιαίως ἢ δολίως τοὺς ἄλλους βλάπτει.
„Φύσει δ' ὢν ἀνθρώπινον κακὸν ὁ δόλος
„Μᾶλλον στυγητός ἐστι Θεῷ, καὶ πλέον
„Κάτω δόλιοι κεῖνται καὶ τιμωροῦνται.
„Πρῶτος κυκλίσκος ἐστὶν ὁ τῶν βιαίων.
„Ἀλλ' ὡς ἡ βία γίνετ' ἐπὶ προσώπων
„Τριῶν, εἰς περιβόλους τρεῖς διαιρεῖται·
„Πρὸς Θεόν, πρὸς ἑαυτόν, πρὸς τὸν πλησίον
„Καὶ τἀνήκοντα τούτοις βίᾳ τις χρῆται,

„ Ὡς δὶ ἐξηγήσεων σαφῶν μαθήσῃ.
„ Φόνος βίαιος καὶ τραύματ' ὀδυνώδη
„ Τοὺς πέλας ζημιοῦσιν· αὐτῶν δ' οὐσίας
„ Ἐμπρησμοί, καταστροφαί, λεηλασίαι.
„ Ὅθεν φονεῖς καὶ πάντες κακῶς ποιοῦντες,
„ Ἐξολοθρευταὶ καὶ λῃσταί, τιμωροῦνται
„ Ἰληδὸν ἐντὸς τοῦ πρώτου περιβόλου.
„ Ἑαυτὸν βίᾳ κοὐσίαν αὑτοῦ βλάψαι
„ Δύναταί τις· διόπερ ἐν τῷ δευτέρῳ
„ Περιβόλῳ δεῖ μετανοεῖν εἰς μάτην
„ Τόν ἑαυτὸν στεροῦντα τοῦ κόσμου ζώντων,
„ Ἢ τὴν αὑτοῦ φθείροντα περιουσίαν,
„ Καὶ κλαίειν ἀντὶ τοῦ γηθόσυνον εἶναι·
„ Δύναται χρῆσθαι βίᾳ τις πρὸς τὸ θεῖον
„ Βλασφημῶν κἀρνούμενος Θεὸν ἰδίᾳ,
„ Ἢ τὴν φύσιν παρορῶν καὐτῆς τὴν χάριν.
„ Ὅθεν ὁ τρίτος περίβολος σφραγίζει
„ Ταὐτῷ σημάντρῳ Σόδομα καὶ Καόρσαν
„ Καὶ Θεὸν παρορῶντας ψυχῇ καὶ λόγοις.
„ Δόλος, ἣ πάσης συνειδήσεως τύψις,

„Ἠ πρὸς βλάβην γίνεται τῶν πίστιν δόντων,
„Ἢ τινων, πρὸς οὓς οὐκ ὀφείλεται πίστις.
„Ῥήγνυσι τὸ δεύτερον εἶδος τοῦ δόλου
„Τὸν δεσμὸν μόνον τῆς φυσικῆς ἀγάπης·
„Ὥστε κυκλίσκος ὁ δεύτερος ἐγκρύπτει
„Ὑποκρισίαν, κολακείαν, κυβείαν,
„Σιμωνίαν, κιβδήλους, κλέπτας, φηλήτας,
„Μαστρωπούς, παρομοίας τ' ἀκαθαρσίας.
„Ὁ δ' ἄλλος δόλος λησμονεῖ τὴν ἀγάπην,
„Ἣν μὲν ἐμπνέει φύσις, ἀλλ' ἣν συσφίγγει
„Ὁ δεσμὸς προσωπικῆς ἐμπιστοσύνης·
„Ὅθεν εἰς τὸν ἔσχατον κυκλίσκον, κέντρον
„Τοῦ Σύμπαντος, ἔνθαπερ ὁ Δὶς ἑδρεύει,
„Πᾶς ὃς ἂν προδῷ φθαρήσετ' αἰωνίως."
Κἀγώ· "Προστάτα, καθαρῶς οἱ σοὶ λόγοι
„Σαφηνίζουσι διακριδὸν ἐκεῖνο
„Τὸ βάραθρον καὶ λαὸν τὸν ἐνοικοῦντα.
„Ἀλλ' εἰπέ μοι νῦν· οἱ τοῦ πηλώδους ἕλους,
„Οἵ τ' ἀπάγοντ' ἀνέμῳ, πλήττονταί τ' ὄμβρῳ,
„Οἵ τ' ἀντικρουόμενοι χαλεποῖς λόγοις,

„ Πῶς οὐκ ἐν τῷ φλογερῷ τιμωροῦντ' ἄστει,
„ Εἴπερ ὁ Θεὸς δι' ὀργῆς αὐτοὺς ἔχει ;
„ Εἰ δὲ μή, πῶς πάσχουσιν ἀλλοιοτρόπως ;"
Ὁ δ' εἶπέ μοι· "Διὰ τί τόσον πλανῶνται
„ Αἱ σαὶ φρένες παρ' ὅ,τι δοκεῖς συνήθως ;
„ Μήπως ἀλλαχοῦ τὸ σὸν πνεῦμα σκοπεύει ;
„ Οὐ μέμνησαι τῶν λόγων, καθ' οὓς συμφώνως
„ Τοῖς σῆς Ἠθικῆς κανόσι τρεῖς τῇ θείᾳ
„ Θελήσει διαθέσεις εἴσ' ἐναντίαι,
„ Ἀκρασία, κακία καὶ θηριότης ;
„ Ὅπως τε πρὸς τὸν Θεὸν ἧττον προσκρούει
„ Ἀκρασία, μομφῆς οὖσ' ἧττον ἀξία ;
„ Εἰ συννοεῖς ἀκριβῶς τὴν γνώμην ταύτην,
„ Καὶ διὰ μνήμης ἔχεις, τίνες ἐκεῖνοι,
„ Οἵπερ οὐκ ἐνταῦθ', ἀλλ' ἄνω τιμωροῦνται,
„ Ὄψει τότε, πῶς εἰσι κεχωρισμένοι
„ Τῶν ὧδ' ἐνόχων, καὶ πῶς σφυρηλατοῦνται
„ Ἧττον ὑπὸ τῆς Θείας Δικαιοσύνης."—
—"Ὦ φωστήρ, πᾶσαν ὅρασιν θεραπεύων
„ Θολήν, σύ με φωτίζων εὐφραίνεις, ὥστε

„ Οὐχ ἧττον φίλον εἰδέναι μ' ἢ διστάζειν.
„ Μικρὸν ἐπάνελθε νῦν," εἶπον, " ὀπίσω,
„ Ἔνθ' εἶναι φῂς μισητὴν τοκοληψίαν
„ Παρὰ τῷ Θεῷ, κἀπορίαν μου λῦσον."
Ὁ δέ· " Φιλοσοφία τοὺς μελετῶντας
„ Αὐτὴν ἐν πολλοῖς κεφαλαίοις διδάσκει,
„ Πῶς φύσις ἕλκει τὴν ἑαυτῆς πορείαν
„ Ἀπὸ θείου τε νοὸς καὶ θείας τέχνης.
„ Ἣν δὴ τὴν σὴν Φυσικὴν καλῶς διέλθῃς,
„ Εὑρήσεις οὐχὶ μετὰ πολλὰς σελίδας
„ Τὴν σαυτοῦ τέχνην, ὡς οἷόν τε, τῇ φύσει
„ Ὀπαδεῖν, ὡς μαθητὴς τῷ διδασκάλῳ·
„ Ὥσθ' υἱωνὴ Θεοῦ τις ἔσθ' ἡ σὴ τέχνη.
„ Ἐκ δύο πηγῶν τούτων ἢν εἰς νοῦν φέρῃς
„ Τὴν ἐν ἀρχῇ Γένεσιν, δεῖ τοὺς ἀνθρώπους
„ Ἐξαντλεῖν τόν τε βίον καὶ τὴν οὐσίαν.
„ Ἐπεὶ δ' ὁ τοκογλύφος ἄλλως διάγει,
„ Τὴν φύσιν αὐτὴν καὶ τὴν ὀπαδὸν ταύτης
„ Προσβάλλει· καὶ γὰρ εἰς ἄλλον ἐλπίδ' ἔχει.—
„ Ἀλλ' ἕπου μοι νῦν· καιρὸς γὰρ τοῦ προβαίνειν·

„ Οἵ τ' Ἰχθῦς φαίνοντ' ἐφ' ὁρίζοντος ἤδη·
„ Ἡ δ' Ἅμαξα πᾶσ' ἐπὶ τοῦ Χώρου κεῖται·
„ Κρημνοῦ δ' ἡ κατάβασις γίνεται 'κεῖθεν."

ΩΔΗ ΙΒ΄.

Ὁ ἕβδομος κύκλος, ἔχων τρεῖς διαιρέσεις διὰ τοὺς βιαίους.—Μινώταυρος.—Οἱ Κένταυροι.—Νέσσος.—Χείρων.—Οἱ κατὰ τῶν ἄλλων βίαιοι.—Ὁ Φλεγέθων.

Ὁ τόπος, ἔνθ' ἤλθομεν τοῦ καταβῆναι
Τὴν ὄχθην, τἀκεῖ τ' ἦσαν οὕτω τραχέα,
Ὥστε τὰς ὄψεις ἀπέτρεπεν ἡ θέα.
Ὡς ἐν τῇ πτώσει τῇ 'πὶ τάδε Τριδέντου
Συμβάσῃ μιᾷ τῶν πλευρῶν Ἀτισῶνος
Ἢ διὰ σεισμόν, ἢ τῆς γῆς ὑπενδούσης,
Ἢ 'κ τῆς ὄρους κορυφῆς εἰς τὸ πεδίον
Ἀποῤῥαγεῖσα πέτρα κρημνώδης οὕτως
Ἔσθ', ὥστ' ἄνωθεν οὐκ ἔνι καταβῆναι,
Τοιάδ' ἡ κατάβασις ἦν κρημνοῦ 'κείνου.
Ἄκρον δ' ἐπὶ τῆς πέτρας ἔκειτ' ἐκτάδην
Τ' αἶσχος τῆς Κρήτης, τέρας, ὃ συνελήφθη

Ἐν τῇ τῆς ψευδοῦς βοὸς αἰσχρᾷ γαστέρι.
Ὡς δ' εἶδεν ἡμᾶς ἤρξαθ' ἑαυτὸν δάκνων,
Καθά τις, ὃν θυμὸς ἔνδον ἐμφλέγει.
Πρὸς αὐτὸν οὑμὸς Σοφὸς ἔκραξεν· "Ἴσως
„ Φρονεῖς ὧδ' εἶναι τὸν τῶν Ἀθηνῶν ἥρω,
„ Τὸν ἐν τῷ κόσμῳ τὸν θάνατόν σοι δόντα.
„ Ἐκποδών, κτῆνος, οὐκ ἦλθ' οὗτος ἐνθάδε
„ Κατὰ διδασκαλίαν τῆς ἀδελφῆς σου,
„ Ἀλλ' ἔρχετ' ὀψόμενος τὰς σὰς βασάνους."
Ὡς ὁ τὰ δεσμὰ συγκαταθλάσας ταῦρος
Καθ' ἣν στιγμὴν βάλλεται θανατηφόρως,
Σκοτοδινιῶν πηδᾷ τῇδε κἀκεῖσε,
Οὕτω τὸν Μινώταυρον εἶδον ποιοῦντα.
Τότ' ἔκραξ' ὁ Προστάτης· " Διάβα τάχει·
„ Ἐν ᾧ μανιᾷ καλόν σοι καταβῆναι."
Οὕτω κατεβαίνομεν ἐπὶ θημώνων
Ἐκ περιφερῶν λίθων ὑπὸ τοὺς πόδας
Τῇ βαρύτητι τῇ 'μῇ κυλινδουμένων.
Κἀγὼ μὲν ἐσκεπτόμην· ὁ δ' εἶπε· " Σκέπτῃ
„ Ἴσως περὶ τῆς πέτρας τῆς φρουρουμένης

„ Ὑπὸ τοῦ μανιῶντος, ὃν νῦν καθεῖλον·
„ Θέλω σ' εἰδέναι τοίνυν, ὅτι τὸ πρῶτον
„ Ὅτε κατέβην εἰς βυθὸν Ἅδου τόνδε,
„ Ἀπόῤῥωξ ἥδ' ἦν οὔπω συμπεπτωκυῖα.
„ Ἀλλ', ἐὰν μὴ λανθάνω, μικρὸν πρὶν ἔλθῃ
„ Ὁ τὴν μεγάλην λείαν τοῦ πρώτου κύκλου
„ Ἐκ χειρῶν Διτὸς ἁρπάσας, ἡ ῥὼξ ἥδε
„ Ἐσείσθη πανταχόθεν τοσοῦτο σφόδρα,
„ Ὥστε, καθὰ σκέπτομαι, τὸ πᾶν ᾐσθάνθη
„ Τὸν ἔρωτα, δι' οὗπερ, ὡς ἔστι δόξα,
„ Συχνῶς εἰς χάος ὁ κόσμος μετεβλήθη.
„ Τότε δ' ἡ παλαίφατος ἀπόῤῥωξ αὕτη
„ Ἔπεσεν ὧδε, προσέτι τ' ἀλλαχόθι.
„ Ἀλλ' εἰς κοιλάδα βλέψον· ἐγγὺς γὰρ ἔστιν
„ Ὁ τῶν αἱμάτων ῥύαξ, ἔνθ' οἱ τοὺς ἄλλους
„ Βίᾳ βλάπτοντες δεινῶς βράζουσι πάντες."
Ὦ πάθος ἀπληστίας, ὀργῆς παράνου,
Τὸ κεντοῦν ἡμᾶς ἐν βραχεῖ βίῳ τῷδε,
Ἵν' αἰωνίως εἰς αἵματα βυθίζῃς!
Εὐρεῖαν τότε κεκυρτωμένην τάφρον

Εἶδον, τὴν πᾶσαν κυκλοῦσαν πεδιάδα,
Καθὼς ὁδηγὸς οὑμὸς προέλεγέ μοι.
Μέσον δὲ ταύτης καὶ τοῦ κρημνοῦ κατ᾽ ἴλην
Διέτρεχον Κένταυροι, φέροντες τόξα,
Ὡς ἔπραττον ἐν κόσμῳ κυνηγετοῦντες.
Ὡς δ᾽ εἶδον ἡμᾶς καταβαίνοντας, πάντες
Ἐπέσχον, καὶ τρεῖς ἀπέστησαν τῆς ἴλης
Σὺν τόξοις καὶ βέλεσιν ἐξηρτυμένοις.
Εἷς δ᾽ ἔκραξε μακρόθεν· "Ἐπὶ βασάνῳ
„ Τίνι καταβαίνοντες ἔρχεσθ᾽ ἐκεῖσε;
„ Λέγετε πόθεν· ἄλλως, τὸ βέλος ῥίπτω."
Προστάτης δ᾽ ἐμὸς εἶπεν· "Ἐροῦμεν τοῦτο
„ Τῷ Χείρωνι σύνεγγυς ἡμεῖς αὐτίκα·
„ Κακὴν θέλησιν ᾀείποτε δεικνύεις."
Εἶθ᾽ ἥψατό μου λέγων· " Νέσσος ἔσθ᾽ οὗτος,
„ Ὁ θανὼν καλῆς χάριν Δηϊανείρας,
„ Αὐτός τ᾽ ἀπηνῶς ἑαυτὸν ἐκδικήσας.
„ Ὁ δ᾽ ἐν τῷ μέσῳ, τὸ στῆθός αὐτοῦ βλέπων,
„ Ὁ Χείρων ἐστίν, ὁ τροφὸς Ἀχιλλέως.
„ Ὁ δ᾽ ἄλλος Φόλος, ὅστις ἦν ὀργῆς πλήρης.

„ Περὶ τὴν τάφρον ἔρχονται μυριάδες,
„ Τοξεύοντες τὰς ψυχὰς τὰς ἐν αἱμάτων
„ Ῥύακι παραβάσας τοὺς ποινῆς ὅρους."
Ὡς δ' ἐγγὺς ἦμεν τῶν ὠκέων τεράτων,
Χείρων ἔλαβε βέλος, καὶ τῇ γλυφίδι
Τὰ γένει' ἔσυρ' ὄπισθεν σιαγόνων,
Καὶ στόμ' ἀνοίξας εὐρὺ λέγει τοῖς ἄλλοις·
" Παρετηρήσατ' ἆρα, πῶς ὁ κατόπιν
„ Ἐρχόμενος κινεῖ πᾶν, ὅτου θιγγάνῃ;
„ Ἀλλ' οἱ πόδες τῶν νεκρῶν οὐ δρῶσιν οὕτως."
Ὁ δ' ἐμὸς Ἄρχων, ὡς ἦν ἐγγὺς τοῦ στήθους,
Ὧπερ αἱ δύο συναρμόζονται φύσεις,
Ἀπεκρίθη πρὸς αὐτόν· " Ναὶ μέν, ζῶν οὗτος·
„ Ἀλλ' ὀφείλω τήνδ' αὐτῷ δεῖξαι κοιλάδα.
„ Ἡμᾶς πρὸς τοῦτ' ἀνάγκη πείθει, κοὐ τέρψις.
„ Ἡ Δεῖν' ἀλληλούϊα ψάλλειν λιποῦσα,
„ Τὸ νέον τοῦτο χρέος ἐπέβαλέ μοι.
„ Οὐ λῃστὴς οὗτος, οὔτ' ἐγὼ ψυχὴ φλαύρα.
„ Ἀλλ' ἄγε πρὸς ἀρετῆς, δι' ἣν εὐθύνω
„ Τὰ βήματά μου δι' ὁδοῦ τῆσδ' ἀγρίας,

„ Ἡμῖν τινα δὸς τῶν σῶν, ὃς ὁδηγήσει,
„ Δείξει τ' ἔνθ' ἐστι τοῦ ῥύακος ὁ πόρος,
„ Καὶ τόνδ' ἐπὶ τῆς αὐτοῦ ῥάχεως ἄξει·
„ Οὐ γὰρ πνεῦμ' ἐστι βαδίζον δι' ἀέρος."
Τότε δ' ὁ Χείρων ἐστράφη δεξιόθεν,
Τῷ Νέσσῳ τ' εἶπεν· "'Επίστρεψον, ὁδήγει,
„ Καὶ κατὰ λόχων ἄλλων τούτοις ἀμύνου."
Ἄπιμεν σὺν τῇ πιστῇ νῦν συνοδίᾳ
Παρὰ τὸ χεῖλος ἐψάνης ἐρυθρόχρου,
Ἔνθ' οἱ ζέοντες ἔκραζον ὀξυφώνως,
Βεβυθισμένοι τ' ἦσαν ἄχρις ὀφρύων.
Ὁ δὲ Κένταυρος εἶπεν· " Οἵδ' αἱμοβόροι
„ Ἁρπαξίβιοί τ' εἰσι τύραννοι πάντες,
„ Τὰς ἀσπλάγχνους ἑαυτῶν θρηνοῦντες πράξεις.
„ Ὧδ' 'Αλέξανδρος, Διονύσιος κεῖσε,
„ Ὁ Σικελίαν μακρὸν λυπήσας χρόνον·
„ Ὁ δὲ μελανότριχον μέτωπον ἔχων
„ 'Αζελήν ἐστιν· ὁ ξανθοκόμης ἄλλος
„ 'Οβίζος Ἔστης, ὅν, ὡς ἀληθὴς φήμη,
„ Ἴδιος υἱὸς ἐφόνευσ' ἐν τῷ κόσμῳ."

Ὁ δὲ Ποιητής, πρὸς ὃν ἐστράφην, εἶπε·
“ Νῦν ὅδ' ἔστω σοι πρῶτος, ἐγώ 'ν δευτέροις.”
Ὁ δὲ Κένταυρος ἀπέβλεψέ τι πρόσω
Εἰς τοὺς ἐκ τοῦ βράζοντος αἱμώδους ῥείθρου
'Εξέρχεσθ' ἐοικότας ἄχρι τραχήλου.
Σκιὰν ἡμῖν ἔδειξε πλευρόθεν μόνην
Λέγων· “ Οὗτος ἐν Θεοῦ ναῷ καρδίαν
„ 'Ενέπειρ' ἀνδρὸς σεπτοῦ νῦν ἐν Ταμέσει.”
Εἶτ' εἶδον ἄλλους, οἳ τοῦ ῥύακος ἔξω
Εἶχον κεφαλήν, πρὸς δὲ καὶ θώραχ' ὅλον·
'Εγὼ δὲ πολλοὺς ἀνεγνώρισα τούτων.
Ἦν δὲ ταπεινούμενον τὸ ζέον αἷμα
Βαθμηδόν, ἕως ἐκάλυπτε τοὺς πόδας·
Καὶ τὸν ῥύακα διέβημεν ἐκεῖθεν.
“ Ὡς ἐκ τοῦ μέρους τούτου σὺ δὴ νῦν εἶδες
„ Τὸν ῥύακ' ἀεὶ σμικρυνόμενον βάδην,”
Εἶπε Κένταυρος, “ εἰδέναι βούλομαί σε,
„ Ὅπως ἐξ ἄλλου πρὸς τὰ κάτω τὸ βάθος
„ Αὐτοῦ μᾶλλον ἔτ' αὐξάνον ἀφικνεῖται,
„ Ἔνθα στένειν προσήκει τὴν τυραννίαν.

„ Ἐβύθισ' ἐκεῖ Θεία Δικαιοσύνη
„ Ἀττίλαν, ὃς ἐγένετ' ἐν τῇ γῇ μάστιξ,
„ Πύῤῥον καὶ Σέξτον· ἐκεῖ τε δι' αἰῶνος
„ Δάκρυ' ἀποσπᾷ ῥέοντ' εἰς ζέον αἷμα
„ Ῥενείρου τοῦ Κορνέτου, Ῥενείρου Πάζου,
„ Τῶν ἐν ὁδοῖς πραξάντων μακρὰς δῃώσεις."
Τὸν πόρον δ' ἐπιστρέφων διέβη πάλιν.

ΩΔΗ ΙΓ'.

Οἱ καθ' ἑαυτῶν βίαιοι.—Ὁ δρυμὼν τῶν αὐτοχείρων.— Αἱ Ἅρπυιαι.—Πέτρος τῶν Βοινιῶν.—Λάνος.— Ἰακὼβ Σαντανδρέας.

Οὐκ ἔφθη Νέσσος ἐπανακάμψας πέραν,
Καί τινος ἐντὸς εὑρέθημεν δρυμῶνος,
Ἔνθ' ὁδῶν οὔτ' ἀτραπῶν ὑπῆρχεν ἴχνος·
Οὐ φύλλα πράσιν', ἀλλὰ χροιᾶς ζοφώδους·
Οὐ λεῖοι κλῶνες, ἀλλὰ στρεβλοὶ κῳζώδεις·
Οὐκ ἀκρόδρυ', ἀλλ' ἄκανθαι φαρμακίδες.
Οὐκ ἔχουσ' οὕτω στρυφνὰς καὶ πυκνὰς βάτους
Ἄγριοι θῆρες, οἱ μισοῦντες τὰς μέσον
Κορνέτου καὶ Καικίνης ἡμέρους γαίας.
Ὧδ' Ἅρπυιαι δυσειδεῖς γυπὰς ποιοῦνται,
Αἱ διώξασαι τοὺς Τρῶας ἐκ Στροφάδων,
Τὴν δεινὴν αὐτοῖς προφητεύσασαι μοῖραν·
Εὐρέα πτερά, λαιμόν τ' ὄψιν τ' ἀνθρώπου
Ἔχουσι· γαμψώνυχες, εὐρυγαστῆρες,

Θρηνῳδοῦσ' ἄνω τῶν ἀλλοκότων δένδρων.
Ὁ δε Προστάτης· "Πρὶν χωρήσωμεν πρόσω,
„Ἴσθ' εἶναί σ' ἔνδον τοῦ δευτέρου κυκλίσκου,"
Ἤρξατο λέγων, "ἔσεσθαί σέ τε μέχρις
„Εἰς τοὺς φρικώδεις ἀφίκῃ ψαμαθῶνας.
„Νῦν βλέπε καλῶς, καὶ τοιαῦτά τιν' ὄψει,
„Οἷά σ' ἀπιστεῖν ἐμοῖς ἐποίει λόγοις."
Ἤκουον πανταχόθεν θλιβεροὺς γόους,
'Αλλ' ἔβλεπον οὐδένα ποιοῦντα τοῦτο·
Ὥστ' ἐμβεβροντημένος ὅλος ἱστάμην.
Ὡς νομίζοντα μ' ἐνόμιζε, νομίζω,
Τοσαύτας φωνὰς ἐξέρχεσθ' ἐκ πνευμάτων
Ὑπὸ τοὺς κορμοὺς δι' ἡμᾶς κρυπτομένων.
Εἶπ' οὖν ἐμοὶ Προστάτης· "'Εὰν κλαδίσκον
„Τινὰ θραύσῃς ἐξ ἑνὸς τῶν δένδρων τούτων,
„Αὐτίκα τοὺς σοὺς λογισμοὺς μεταλλάξεις."
Τότε τὴν χεῖρ' ἐκτείνας μικρόν τι πρόσω,
'Απέκοψα μεγάλης βάτου κλαδίον·
Ὁ δὲ κορμὸς ἔκραξε· "Τί με συντρίβεις;"
Ὡς δ' ἐκ ῥοῆς αἵματος κατέστη μέλας,

Ἀναλαβὼν ἔκραξε· "Τί με σπαράττεις;
„ Οὐδὲν αἴσθημα σὺ συμπαθείας ἔχεις;
„ Ἦμεν ἄνθρωποι, νῦν δ' ἐσμὲν κορμοὶ δένδρων·
„ Μᾶλλον ἂν φιλέλεος ἡ σὴ χεὶρ εἴη,
„ Εἴπερ εἴημέν ποτε ψυχαὶ δρακόντων."
Ὡς δαλὸς χλωρὸς καιόμενος ἐξ ἄκρου
Ἑνὸς φαίνεται στενάζων ἐκ θἀτέρου,
Κἀκ τῆς ἀέρος διαφυγῆς συρίζει,
Οὕτως ἐξῆρχετ' ἐκ τοῦ κλάδου συγχρόνως
Αἷμα καὶ λόγοι· κἀγὼ τὸν κλάδον ῥίψας,
Ἔμειν' ὥσπερ ἄνθρωπος ἐπτοημένος.
"Εἴπερ ἐπίστευ' οὗτος, πρὶν ἤ σε βλάψῃ,"
Εἶπεν ὁ Σοφός, "ὦ ψυχὴ τετρωμένη,
„ Ὅ,τι ποτ' ἐν τοῖς ἐμοῖς ἀνέγνω μέτροις,
„ Οὐκ ἂν ἔτειν' ἐπὶ σὲ βλαβερὰν χεῖρα.
„ Ἀλλ' αὐτὸς ἐγώ, πρᾶγμα δύσπιστον ὅλως!
„ Προὔτρεψ' αὐτὸν εἰς τοὖργον, ὃ καὶ λυπεῖ με.
„ Εἰπὲ δ' αὐτῷ νῦν, τίς εἶ, κἀμοιβῆς χάριν
„ Ἀναμνήσει σὴν φήμην, ὅτ' ἐπιστρέψει,
„ Ὡς αὐτῷ θέμις, εἰς τὸν ἐπάνω κόσμον."

Ὁ κορμός· "Θέλγομ' οὕτω τοῖς σοῖς γλυκέσι
„ Λόγοις, ὥστ' οὐ δύναμαι σιγᾷν· ἀλλά μοι
„ Σύγγνωτ', εἰ ποθῶ μικρὸν διαλεχθῆναι.
„ Εἴμ' ἐκεῖνος, ὃς εἶχον ἄμφω τὰς κλεῖδας
„ Καρδίας Φρεδερίκου, κἀνέτως οὕτως
„ Ἔστρεφον αὐτάς, ἀνοίγων τε καὶ κλείων,
„ Ὥστ' ἀποκρύφων αὐτοῦ πάντας ἀπεῖργον.
„ Οὕτω τε πιστῶς τοὔνδοξον ἐξεπλήρουν
„ Ὑπούργημ', ὥστ' ὤλεσα παλμοὺς καὶ φλέβας.
„ Ἡ τοὺς μοιχίους ὀφθαλμοὺς τοῦ μελάθρου
„ Καίσαρος οὔποτ' ἀποσπάσασ' ἑταίρα,
„ — Κοινὸς τῶν αὐλῶν θάνατος καὶ κακία!—
„ Ἐξῆψε τὰς καρδίας κατ' ἐμοῦ πάντων·
„ Οἱ δ' ἐξαφθέντες τὸν Αὔγουστον ἐξῆψαν·
„ Καὶ δὴ τὰς τιμὰς τὸ πένθος διεδέχθη.
„ Ἐξ ἀγανακτήσεως τόθ' ἡ ψυχή μου,
„ Τὴν ὕβριν τῷ θανάτῳ φυγεῖν ζητοῦσα,
„ Ἄδικον τέλος ἔδωκέ μοι δικαίῳ.
„ Μὰ τὰς νεαρὰς ῥίζας τοῦ δένδρου τούτου,
„ Ὄμνυμ' ὑμῖν, οὐδέποτ' ἔλυσα πίστιν

„ Πρὸς τὸν ἀξιότιμον ἐμὸν αὐθέντην.
„ Ἤν τις δ' ἐξ ὑμῶν εἰς κόσμον ἐπιστρέψῃ,
„ Ἀμυνάτω τὴν ἐμὴν μνήμην, ἔτ' οὖσαν
„ Ὑπὸ τὴν πληγήν, ἣν ἐπήνεγκε φθόνος."
Μικρόν τι μείνας, "Ὡς σιωπῶν τυγχάνει,"
Ὁ Ποιητὴς εἶπέ μοι, " μὴ χρονοτρίβει,
„ Ἀλλ' ὁμίλει, κ' εἴ τί σοι φίλον ἐρώτα."
Κἀγὼ πρὸς αὐτόν· " Σύ γε μᾶλλον πυνθάνου,
„ Εἴ τι νομίζεις σύμφορον ἔσεσθαί μοι·
„ Ἀμηχανῶ γάρ, συγκινηθεὶς ἐξ οἴκτου."
Τότ' αὐτὸς εἶπε· "Τὴν σὴν αἴτησιν οὗτος
„ Ἐκπληρώσει μὲν προθύμως· σὺ δ', ὦ πνεῦμα
„ Δέσμιον, εἴ σ' ἀρέσκει, λέγε προσέτι,
„ Πῶς ἆρ' ἡ ψυχὴ συνδέεται τοῖς ὄζοις
„ Τούτοις, καὶ λέγ' ἐπ' ἴσης, εἰ δυνατόν σοι,
„ Εἴ τις ποτ' ἀπηλλάχθη τῶν μελῶν τούτων."
Τότ' ἐφύσησ' ὁ κορμὸς ἰσχυρῶς, κᾆτα
Μετετράπη τὸ φύσημ' εἰς λέξεις τάσδε.
"Ὑμῖν ἀποκρινοῦμαι διὰ βραχέων.
„ Ὅταν ἐξέλθῃ θηριώδης ψυχή τις

„ Τοῦ σώματος ἑαυτῆς αὐτοχειρίᾳ,
„ Αὐτὴν εἰς κύκλον ἕβδομον πέμπει Μίνως·
„ Πίπτει δ' ἐν τῷ δρυμῶνι, καθὼς ἂν τύχῃ.
„ 'Αλλ' ἔνθαπερ ἔῤῥιψεν αὐτὴν ἡ Μοῖρα,
„ 'Εκεῖ βλαστάνει, καθὰ κόκκος ὀλύρας·
„ Φύεται θάμνος, εἶτα δ' ἄγριον δένδρον·
„ Αὐτοῦ δ' Ἅρπυιαι βοσκόμεναι τὰ φύλλα
„ 'Αλγηδόνας ποιοῦσιν, ἀλγεινά θ' ἕλκη.
„ Ἕξομεν δ' ἡμέτερον, ὡς ἄλλοι, σῶμα·
„ 'Αλλ' οὐδεὶς ἡμῶν ἐνδύσετ' αὐτὸ πάλιν·
„ Ὃ γὰρ αὐτοῦ τις ἀφεῖλ', ἔχειν οὐ θέμις.
„ Συροῦμεν δ' ὧδε τὰ σώματα, κἀν τούτῳ
„ Κρεμάμεν' ἔσται τῷ λυπηρῷ δρυμῶνι,
„ Ἕκαστον εἰς τῆς αὐτοῦ ψυχῆς τὸ δένδρον."
'Ως δ' ἠκούομεν αὐτοῦ παρὰ τῇ βάτῳ,
Δοκοῦντες ὡς ἔμελλεν ἄλλο τι λέγειν,
Αἴφνης ἐξεπλάγημεν ἔκ τινος κρότου
Παραπλησίου τῷ τῶν κυνηγεσίων,
Ὅτ' ἄγριον σῦν στῖφος κυνῶν διώκει,
Κἀκούεται πάταγος ζώων καὶ κλάδων.

'Ιδοὺ δὲ δύο πρὸς τἀριστερὸν μέρος,
Γυμνοὶ καὶ δεδρυμμένοι, τρέχοντες σφόδρα,
῞Ωστε συνθλᾶσθαι τὰ πάντ' ἐν τῷ δρυμῶνι·
Κράζει δ' ὁ πρῶτος· "Νῦν ἔρχου, θάνατ', ἔρχου."
'Ο δ' ἕτερος ὡς δοκῶν βραδύνειν ἄγαν,
῎Εκραζε· "Λάνε, τοὺς πόδας ὠκεῖς οὕτως
„ Οὐκ εἶχες ἐν ταῖς Τόππου πεζομαχίαις."
Καταληφθεὶς δὲ πιθανῶς ἀπνευστίᾳ,
Προσέφυγεν εἰς θάμνον, ᾧ συνεπλέχθη.
'Ως δ' ὄπισθεν αὐτῶν ἦν ὁ δρυμὼν πλήρης
Κυνῶν μελαινῶν, λυσσωδῶν, ἁλλομένων,
'Ως λαγοθῆραι δεσμῶν ἀπολυθέντες,
῎Εδακον ὀδὰξ τὸν ἐκεῖ προσφυγόντα,
Κατεσπάραξάν τ' αὐτὸν εἰς μέρη τμήδην,
Μακράν τ' ἔσυραν αὐτοῦ τἀλγοῦντα μέλη.
Τότ' ἐλάβετο τῆς χειρὸς ὁ Προστάτης
Καὶ τοῦ θάμνου πλησίον ὡδήγησέ με,
Τὰς αἱμοφύρτους πληγὰς θρηνοῦντος μάτην.
" 'Ιάκωβ'," ἐκραύγαζεν, "ὁ Σαντανδρέα,
„ Πρὸς τί παρ' ἐμὲ σκέπην εὑρήσων ἦλθες;

„ Δι' ἁμαρτίας τὰς σὰς ἐγὼ τί πταίω ;"
'Εγγὺς δ' αὐτοῦ προσελθὼν οὑμὸς Προστάτης
Εἶπε· " Τίς ἦσθα, καὶ διὰ πληγῶν τόσων
„ 'Αλγεινοὺς σὺν αἵματι λόγους ἐρεύγῃ ;"
Αὐτὸς δ' εἶπεν· "'Ω ψυχαί, τὸν ὀδυνώδη
„ 'Ιδεῖν ἐλθοῦσαι σπαραγμόν, ὅστις ἤδη
„ Τῶν ἐμῶν φύλλων ἐχώρισέ με, ταῦτα
„ Συλλέξατε νῦν παρὰ τῷδε τῷ θάμνῳ.
„ Ἤμην πόλεως, ἣ τὸν πρῶτον προστάτην
„ Μετέβαλ' εἰς βαπτιστήν· ἀνθ' ὧν ἐκεῖνος
„ Ἀεὶ μηχαναῖς ἀθλίαν καταστήσει.
„ Εἰ μὴ δ' ἔμενεν ἐπὶ γεφύρας Ἄρνου
„ Ἔτι θέα τις ἐκείνου σωζομένη,
„ Οἱ πάλιν αὐτὴν οἰκίσαντες πολῖται
„ 'Επὶ τῶν τεφρῶν, ἃς κατέλιπ' 'Αττίλας,
„ Μάτην ἂν ἀνέλαβον τοσούτους πόνους.
„ 'Αγχόνην μοι τοὺς οἴκους ἐποιησάμην."

ΩΔΗ ΙΔʹ.

Οἱ κατὰ τοῦ Θεοῦ βίαιοι.—Ἡ καίουσα ἄμμος καὶ ὁ πύρινος ὄμβρος.—Ὁ Καπανεύς.—Ἡ πηγὴ τῶν τεσσάρων τοῦ Ἅδου ποταμῶν.

Ἐκ συμπαθείας πρὸς τὴν φίλην πατρίδα
Συλλέξας τὰ σποράδην πεσόντα φύλλα,
Ἀπέδωκα τῷ βραγχῶς ἤδη φωνοῦντι.
Κεῖθεν ἀφίγμεθ' εἰς χῶρον, ὃς χωρίζει
Τὸν περίβολον τὸν δεύτερον τοῦ τρίτου,
Ἔνθ' ἔργ' ἦν ἰδεῖν φρικτὰ δικαιοσύνης.
Λέγω πρὸς ἐξήγησιν τῶν νέων τούτων
Πραγμάτων, ὡς ἤλθομεν εἰς πεδιάδα
Ἐσαεὶ φυτοῦ παντὸς ἐστερημένην.
Ταύτην περιστοιχίζει στεφάνου δίκην
Ὁ λυπρὸς δρυμών, ὡς τοῦτον λυπρὰ τάφρος.
Ἔστημεν ἐπὶ ποδὸς ἐκεῖ πρὸς τἄκρα·
Τοὔδαφος ἦν ἐκ ξηρᾶς καὶ λεπτῆς ἄμμου,
Οὐχ ἑτέρας φύσεως, ἀλλ' οἵαν ἤδη

Διεπάτησαν οἱ τοῦ Κάτωνος πόδες.
Ὦ Θεία Δίκη, πῶς φοβεῖσθαί σ' ὀφείλει
Πᾶς ἄνθρωπος, ὅς ποτ' ἂν ἀναγνοὺς τύχῃ
Τὰ τοῖς ἐμοῖς ὀφθαλμοῖς ἐμφανισθέντα!
Ψυχῶν γὰρ γυμνῶν εἶδον πολλὰς ἀγέλας,
Λίαν μὲν δεινοπαθῶς θρηνούσας πάσας,
Διάφορος δ' ἑκάσταις ἐτέθη νόμος.
Αἱ μὲν ὑπτίως ἔκειντο, τινὲς δ' ἄλλαι
Ἐκάθηντο συμμίγδην ὀκλαδὸν πᾶσαι·
Ἕτεραι δ' ἐβάδιζον ἀδιαλείπτως.
Αἱ πέριξ βαδίζουσαι πλείονες ἦσαν,
Ὅσαι δ' ἐν ταῖς βασάνοις ἔκειντ', ἐλάττους·
Ἀλλ' εἶχον γλῶσσαν πρὸς λύπην λαλιστέραν.
Ἐπὶ τοῦ ψαμαθῶνος παντὸς βραδέως
Εὐρεῖαι κατέπιπτον φλογῶν τολύπαι,
Ὡς νηνεμίης νιφάδες εἰς τὰς Ἄλπεις.
Οἵασπερ Ἀλέξανδρος ἐν θερμαῖς χώραις
Ἰνδιῶν εἶδεν ἐπὶ τῶν στρατευμάτων
Φλόγας πιπτούσας μέχρι γῆς ἀνημμένας,
Ὥστε τῷ στρατῷ λακπατεῖν ἐπιτάξαι

Τοὔδαφος, ὅπως τὸ πῦρ κατασβεσθείη
Ῥᾷον, ἐφ' ὅσον ἔμενεν ἔτι μόνον,
Τοιάδ' ἡ πτῶσις φλογῶν ἦν αἰωνίων.
Ἡ δ' ἄμμος ἐξήπτετο, καθάπερ ὕσκα
Ὑπὸ χάλυβα, τὴν βάσανον διπλοῦσα.
Ἀκαταπαύστως τὰς ταλαιπώρους χεῖρας
Ἀνετίνασσον νῦν ἔνθεν, νῦν ἐκεῖθεν,
Ἑκάστην νέαν ἀποσείουσαι φλόγα·
Ἐγὼ δ' ἠρξάμην· "Προστάτα, σύ γ' ὁ πάντα
„ Νικήσας, ἐκτὸς τῶν τολμηρῶν δαιμόνων
„ Τῶν ἀντιστάντων ἡμῖν πρόσθεν τῆς πύλης,
„ Τίς ἔσθ' ὁ μέγας, ὃς οὐ δοκεῖ φροντίζων
„ Περὶ τοῦ πυρός, ἀλλὰ λυσσόων κεῖται,
„ Ὥστ' οὐκ ἐμάλαξ' αὐτὸν ὁ φλογῶν ὄμβρος;"
Αὐτὸς δ' ἐκεῖνος, ὡς ἔοικ', ἐννοήσας,
Ὡς αὐτοῦ πέρι τὸν Ἡγήτορ' ἠρώτων,
Ἔκραξ'· "Εἰμὶ νῦν νεκρός, οἷος ζῶν ἤμην.
„ Κἂν Ζεὺς ἐπείγῃ τὸν ἑαυτοῦ χαλκέα,
„ Οὗ τὸν ὀξὺν κεραυνὸν λαβὼν ὀργίλως
„ Ἔβαλε μ' ἐν ἐσχάτῃ ζωῆς ἡμέρᾳ·

„ Κἂν ἀμοιβαδὸν τοὺς μέλανας ἐργάτας
„ Ἐργοδιωκτῇ τῆς Αἰτναίας καμίνου,
„ Ὥς ποτ' ἔπραξεν ἐν τῇ Φλεγραίᾳ μάχῃ
„ Κράζων· ' "Ἥφαιστε, βοήθει δή, βοήθει!" '
„ Κἂν τ' ἐπ' ἐμὲ τοξεύσῃ βέλεσι πᾶσιν,
„ Οὐκ ἂν ἐκδικήσεως χαρμονὴν ἕξοι."
Τότ' εἶπεν οὑμὸς Ἡγήτωρ μετὰ σθένους,
Ὅπως οὐ πώποτ' ἤκουσ' αὐτοῦ λαλοῦντος·
"Ὦ Καπανεῦ, δι' αὐτὴν τὴν ἄκαμπτόν σου
„ Ἀλαζονείαν οὕτω σκληρῶς νῦν πάσχεις·
„ Οὐ γὰρ ἔστι βάσανος, πλὴν τῆς σῆς λύσσης,
„ Μᾶλλον ἀξία τῆς σῆς μανίας ἄλλη."
Εἶτα πρὸς ἐμὲ στραφεὶς ἠπιοφρόνως
Εἶπεν· "Ὅδ' ἦν εἷς τῶν ἑπτὰ βασιλέων
„ Τῶν ἐπὶ Θήβας, ἔχων καὶ δοκῶν ἔχειν
„ Ἀσεβῆ πρὸς τὸ θεῖον ὑπεροψίαν·
„ Ἀλλ', ὡς αὐτῷ νῦν εἶπον, τὴν αὐτοῦ λύσσαν
„ Ἔσχηκεν ὧδε νῦν ποινὴν ἀποχρῶσαν.
„ Ἀλλ' ἕπου μοι νῦν, ὅρα τε μὴ τοὺς πόδας
„ Ἐπὶ τῆς αἰθομένης τυχὸν θῇς ἄμμου·

„ Ἀλλ' ἐγγὺς ἀεὶ τοῦ δάσους αὐτοὺς ἔχε."
Διὰ σιγῆς ἤλθομεν ἔνθ' ἀναβλύει
Ἐκτὸς τοῦ δρυμοῦ μικρὸν ποτάμιόν τι,
Οὗτινος ἡ 'ρυθρότης ἔτι φρικοῖ με.
Οἷος δ' ὁ ῥύαξ ῥέει τοῦ Βουλικάμου,
Ὅνπερ ἑαυταῖς διανέμουσ' αἱ πόρναι,
Οὕτως ἔῤῥεεν αὐτὸ διὰ τῆς ἄμμου.
Αὐτοῦ δ' ἡ κοίτη καὶ τὰ πλευρώματ' ἄμφω
Τό τ' ἐκτὸς χεῖλος ἦσαν ὅλως ἐκ λίθου·
Ἐνόησα δ' ἡμᾶς δεῖν περᾷν ἐκεῖθεν.
" Ἐκ πάντων ἄλλων, ὅσα κατέδειξά σοι,
„ Ἐξ οὗπερ εἰσήλθομεν διὰ τῆς πύλης,
„ Δι' ἧς οὐδενὶ κωλύετ' εἰσιέναι,
„ Οὐδὲν τοῖς σοῖς ὀφθαλμοῖς ἦν τόσου λόγου
„ Ἄξιον, ὅσον τὸ ποτάμιον τοῦτο,
„ Οὗτινος ἔνδον σβέννυνται φλόγες πᾶσαι."
Τοιοίδ' ἦσαν οἱ λόγοι τοὐμοῦ Προστάτου.
Ἐμοῦ δὲ δεηθέντος, ὅπως πληρώσῃ
Ὃν ταῦτα λέγων ἐνήγειρέ μοι πόθον,
" Μέσον θαλάσσης ἐστὶν ἐρείπιός τις,"

Εἶπέ μοι τότε, “ χώρα, τοὔνομα Κρήτη,
,, Ὑφ᾽ ἧς τὸν βασιλέ᾽ ἦν ὁ κόσμος σώφρων.
,, Ἔστιν ὄρος ἐκεῖ τι πάλαι μὲν πλῆρες
,, Ὑδάτων καὶ πρασιῶν, οὗ τοὔνομ᾽ Ἴδη,
,, Ἔρημον δὲ νῦν, ὡς γεγηρακὸς πρᾶγμα.
,, Ὡς πιστὴν αὐτὸ κοιτίδ᾽ εἵλετο Ῥέα
,, Τοῦ παιδὸς αὐτῆς, ὅν, ἵνα ῥᾷον κρύψῃ
,, Κλαίοντα, βοὰς ἀναπέμπεσθ᾽ ἐποίει.
,, Τοῦ δ᾽ ὄρους ἐντὸς ἵσταται γέρων μέγας,
,, Τὰ νῶτ᾽ ἐστραμμέν᾽ ἔχων πρὸς Δαμιάταν,
,, Καὶ βλέπων πρὸς τὴν Ῥώμην, ὡς ἐν κατόπτρῳ.
,, Ἐκ χρυσοῦ τὴν κεφαλὴν ἀκραιφνοῦς ἔχει,
,, Ἐξ ἀργύρου δὲ βραχίονας καὶ στῆθος·
,, Ἔπειτ᾽ ἐστὶν ἐκ χαλκοῦ μέχρις ὀσφύος,
,, Ἐξ ἐκλεκτοῦ σιδήρου τ᾽ ἐκεῖθεν κάτω,
,, Πλὴν τοῦ δεξιοῦ ποδὸς ὄντος πηλίνου,
,, Ἐφ᾽ οὗπερ ἐρείδεται πλέον θατέρου.
,, Διασχιδὲς πλὴν χρυσοῦ πᾶν ἐστι μέρος
,, Διὰ χαράδρας, ἐξ ἧς σταλάζει δάκρυ,
,, Ὃ συναθροισθὲν διατιτραίνει τοὖρος.

„ Ἐκ δὲ τούτων τῶν ῥοῶν ἐν τῇ κοιλάδι
„ Σχηματίζετ' Ἀχέρων, Στὺξ καὶ Φλεγέθων.
„ Δι' αὔλακος δὲ στενῆς βαίνουσαι κάτω
„ Αἱ ῥοαὶ μέχρι τοῦ βυθοῦ τῆς ἀβύσσου,
" Ποιοῦσι τὸν Κωκυτόν· ἡ λίμνη δ' αὕτη
„ Τίς ἐστιν, ὄψει· τὰ νῦν οὐδὲν ἐρῶ σοι."
Κἀγὼ πρὸς αὐτόν· " Εἴπερ ὁ ῥύαξ οὗτος,
„ Ὡς φῄς, ἐκ τοῦ παρ' ἡμῖν πηγάζει κόσμου,
„ Πῶς οὐ φαίνεται πλὴν εἰς τὸ χεῖλος τόδε;"
Πρὸς ἐμὲ δ' αὐτός· " Οἶδας, ὅτι κυκλώδης
„ Ὁ τόπος οὗτος· σὺ δ' ἐν τῇ καταβάσει,
„ Καίτοι πρὸς τἀριστερὰ πολὺ βαδίσας,
„ Οὔπω διῆλθες ὁλόκληρον τὸν κύκλον.
„ Εἴ τί σοι λοιπὸν ἀναφαίνεται νέον,
„ Οὐ πρὸς τοῦτο δεῖ δοκεῖν σε τεθηπότα."
Κἀγὼ πάλιν· " Προστάτα, ποῦ 'στι Φλεγέθων
„ Καὶ Λήθη; περὶ ταύτης οὐδὲν γὰρ εἶπας·
„ Φῂς δ' ἐκ ποίων ὁ πρῶτος ῥοῶν πηγάζει."
—" Ὄντως ἐρωτήματα τὰ σὰ μ' ἀρέσκει,"
Ἀπεκρίνατο· " πλὴν ὁ βρασμὸς κοκκίνου

„ Ὕδατος μίαν ἀπορίαν σου λύει.
„ Ὄψει τὴν Λήθην, ἀλλ' ἐκτὸς τάφρου τῆσδε,
„ Ἔνθ' ἥκουσιν αἱ ψυχαὶ πρὸς τὸ λουσθῆναι,
„ Ὅταν τὸ πταῖσμα μετάνοι' ἐξαλείφῃ."
Εἶτ' εἶπε· " Καιρὸς ἐξελθεῖν τοῦ δρυμῶνος·
„ Σοὶ δ' ἕπεσθαί μοι κατόπι νῦν μελέτω.
„ Ὁδευτόν ἐστι τὸ χεῖλος, ὡς οὐ καῖον·
„ Πᾶς γὰρ ἀτμὸς ἐπ' αὐτοῦ σβέννυται πίπτων."

ΩΔΗ ΙΕ΄.

Οἱ κατὰ τοῦ Θεοῦ παρὰ φύσιν βίαιοι.—
Βρουνέττος Λατίνης.

Νῦν δὲ βαίνομεν ἐφ' ἑνὸς τῶν λιθίνων
Χειλῶν· ὁ δ' ἀτμὸς τοῦ ῥύακος ἐπάνω
Σκεπάζει πυκνούμενος ὕδωρ τε κὤχθην.
Ὡς Φλανδρεῖς Βρυγῶν μεταξὺ καὶ Κασσάνδας
Δεδιότες χειμῶνος κῦμα πλημμύρας,
Ἀπείργουσ' ὠκεανὸν διὰ χωμάτων·
Καθὼς καὶ Παταυῖνοι παρὰ τὴν Βρένταν
Εἰς προφύλαξιν τῆς πόλεως καὶ πύργων,
Πρὶν αἰσθανθῇ τὸν καύσων' ἡ Κλαρεντάνα·
Παρόμοι' ἦν τὰ χείλη τοῦ ποταμίου,
Ἀλλ' οὐχ ὁμοίου πάχους οὔτε μὴν ὕψους·
Ταῦτ' ἔκτισ' ὁ Κύριος, ὅστις ἂν εἴη.
Ἤδη τοῦ δρυμοῦ μακρὰν τοσοῦτον ἦμεν,
Ὥστ' ἰδεῖν αὐτόν, ἔνθ' ἦν, οὐκ ἂν δυναίμην,

Εἰ τὰ βλέμματ' ὄπισθεν ἔμελλον τρέπειν,
Ὅτ' αἴφνης ψυχῶν ἀπηντήσαμεν πλῆθος
Παρὰ τὴν κρηπῖδ' ἐρχόμενον, καὶ βλέπον
Ἅπαν πρὸς ἡμᾶς, ὥσπερ εἴωθε νύκτωρ
Βλέπεσθ' ἀλλήλους ὑπὸ νέαν σελήνην.
Ὄμμασι δ' ἡμᾶς ἑώρων ἀτενέσιν,
Ὥσπερ βελόνην διείρων γέρων ῥάπτης.
Ἐκ δὲ τῶν ψυχῶν τῶν προσβλεπουσῶν μ' οὕτω
Μία μ' ἀνεγνώρισεν, ἡ λαβομένη
Ἐμῶν κρασπέδων ἔκραξεν· "Οἷον θαῦμα!"
Ἐγὼ δ', ἐπεί μοι τὴν χεῖρ' ἔτεινεν, εἶδον
Ἀτενῶς αὐτῆς τὴν πυρίφλεκτον ὄψιν·
Τὸ δ' αἰθαλόεν σχῆμ' οὐκ ἐκώλυσέ με,
Ὅπως ἐκ μνήμης αὐτὴν ἀναγνωρίσω.
Πρὸς δ' αὐτῆς τὸ πρόσωπον τὴν χεῖρα κλίνας
Ἀπεκρινάμην· "Ὧδ' εἶ σύ, Κὺρ Βρουνέττε;"
Ὁ δέ· "Τέκνον μου, σὺν σοὶ μὴ δυσφορήσῃς
„ Ἐὰν Βρουνέττος Λατίνης ἐπιστρέψῃ
„ Μικρὸν ὀπίσω, τὴν ῥύμην λιπὼν τούτων."
Ἐγὼ δέ· "Τό γ' ἐπ' ἐμοί, πάνυ προθύμως·

„ Εἰ δὲ παρὰ σὲ βούλει με συγκαθῖσαι,
„ Ἔσετ', ἂν ἐμὸν ἀρέσκῃ συνοδίτην."
—"Ὦ τέκνον," εἶπεν, "ἤν τις τῶν ψυχῶν τούτων
„ Στήσητ' ἀκαρές, ἑκατὸν ἔτη μένει,
„ Τοῦ πυρὸς ἀμύνασθαι οὐ δυναμένη.
„ 'Αλλ' ἄγ', ἀρτηθήσομαι τῶν σῶν κρασπέδων,
„ Ἕως συμμιχθῶ τῇ 'μῇ πάλιν ἀγέλῃ,
„ 'Οδυρομένῃ κολάσεις αἰωνίους."
'Αλλ' οὐκ ἐτόλμων καταβῆναι τοῦ χείλους,
'Εγγύς τ' ἰέναι· τὴν κεφαλὴν δὲ κλίνας
Ἔστην, ὡς ἀνήρ, ὃς μετ' αἰδοῦς βαδίζει.
Εἶπε δὲ τότε· "Τί συμβὰν ἢ τίς τύχη
„ Πρὶν ἐσχάτης ἡμέρας ἤγαγέ σ' ὧδε;
„ Τίς δ' ἔστ' ἐκεῖνος ὁ τὴν ὁδὸν δεικνύων;"
—"Ἄνω 'κεῖθ' ἐν τῇ ζωῇ τῇ γαληναίᾳ,"
Τότ' εἶπον, "ἐντὸς κοιλάδος ἐπλανήθην,
„ Πρὶν εἶναί με τέλειον τὴν ἡλικίαν.
„ Χθὲς δ' ἔτρεψ' αὐτῇ πρωῒ μόνον τὰ νῶτα·
„ Οὗτος δὲ παρέστη μοι, καί μ' οἴκαδ' ἄξων
„ 'Οδηγεῖ με νῦν διὰ τῆς ὁδοῦ ταύτης."—

Ὁ δ᾽ εἶπε· “Τῷ σῷ παρακολουθῶν ἄστρῳ
„ Ἀσφαλῶς εἰς ἔνδοξον λιμέν᾽ ἀφίξῃ,
„ Εἰ καλῶς ἔγνων ἐν τῷ καλλίμῳ βίῳ.
„ Εἰ δ᾽ ὁ θάνατος μή μ᾽ ἀνήρπαζ᾽ ἀώρως,
„ Βλέπων τὸ θεῖον οὕτως εὐμενὲς ὄν σοι,
„ Ἐδίδων ἄν σοι προτροπὴν ἐν τοῖς ἔργοις.
„ Ἀλλ᾽ ὁ κακόνους κἀγνώμων λαὸς κεῖνος,
„ Ὃς κατάγετ᾽ ἀρχῆθεν ἐκ Φαισουλάνων,
„ Καὶ μετέχει τοῦ τ᾽ ὄρους καὶ πέτρας ἔτι,
„ Ἐχθρὸς ἐπ᾽ ἀγαθῷ σου γενήσεταί σοι.
„ Τοῦτο δὲ θέμις· ἐν ὄαις γὰρ ἀγρίαις
„ Γλυκεῖαν συκῆν καρποφορεῖν οὐκ ἔνι.
„ Αὐτοὺς καλεῖ τοῦ κόσμου παλαιὰ φήμη
„ Τυφλούς, φειδωλούς, φθονερούς, ἀλαζόνας.
„ Φυλάσσου μὴ μολυνθῇς τοῖς τούτων τρόποις.
„ Ταμιεύει σοι τόσην τιμὴν ἡ τύχη,
„ Ὥστε σε ποθήσουσι μερίδες ἄμφω·
„ Ἀλλὰ τοῦ ῥύγχους μακρὰν ἔστω τὸ χόρτον·
„ Βόσκην εὑρέτω τὰ Φαισουλάνων κτήνη
„ Αὔτ᾽ ἀφ᾽ ἑαυτῶν· μὴ τοῦ φυτοῦ ψαυέσθω,

„ Εἴ τί γ' ἔτ' ἐν ταῖς αὐτῶν φύει κοπρίαις,
„ Ἐν ᾧ τὸ σεπτὸν ἀναζησάτω σπέρμα
„ Τῶν ἐκεῖ που μεινάντων Ῥωμαίων, ὅτε
„ Ὁ κακίας φωλεὸς οὗτος ἠγέρθη."—
—"Εἴπερ ποτ' εἰσηκούεθ' ἡ δέησίς μου,"
Ἀπεκρινάμην, "οὐκ ἂν ἔξορος εἴης
„ Ἐκ τῆς φύσεως τῆς ἀνθρωπίνης ἔτι·
„ Ἐν μνήμῃ γάρ ἐστί μοι κεχαραγμένη,
„ Καὶ θέλγει μ' ἡ σὴ πατρική τε καὶ φίλη
„ Εἰκών, ὅτε διδάσκων ἦς μ' ἐν τῷ κόσμῳ
„ Ἔναγχος, πῶς ἄνθρωπος ἀθανατοῦται.
„ Ὅτι δ' ἔσομ' εὐγνώμων ἐφ' ὅσον ζήσω,
„ Ἡ γλῶσσά μου τοῖς πᾶσι διατρανώσει.
„ Ὃ περὶ τύχης τῆς ἐμῆς λέγεις, γράψας
„ Δείξω σὺν ἄλλαις προῤῥήσεσι Δεσποίνῃ
„ Σοφῇ πρὸς ἐξήγησιν, ἣν αὐτὴν ἴδω·
„ Τοσοῦτο μόνον γνωστὸν εἶναί σοι θέλω·
„ Ἐφ' ὅσον τὸ συνειδὸς οὐδέν μ' ἐλέγχει,
„ Πρὸς πᾶν θέλημα τῆς Τύχης εἴμ' ἑτοῖμος.
„ Οὐ καινὴ τοῖς ὠσί μου πρόῤῥησις αὕτη·

„ Ἡ Τύχη τὸν ἑαυτῆς τροχὸν στρεφέτω,
„ Ὡς ἂν ἀρέσκῃ, κἀγρότης τὴν σκαπάνην."
Οὑμὸς Προστάτης πρὸς τὰ δεξιὰ τότε
Στραφεὶς ὀπίσω προσέβλεψέ με, κᾆτα
Εἶπεν· " Ἀκούει καλῶς ὁ μνημονεύων."
Οὐχ ἧττον ὅμως ὁμιλῶν διετέλουν
Μετὰ τοῦ Κὺρ Βρουνέτου, καὐτὸν ἠρώτων,
Τίνες πρώτιστοι τῶν συμπασχόντων ἦσαν.
Ὁ δ' εἶπε· " Καλὸν εἰδέναι τινὰς τούτων,
„ Βέλτιον δὲ τῇ σιγῇ παρελθεῖν ἄλλους·
„ Μακρὸν γὰρ ἂν εἴη μοι λέγειν σοι πάντας.
„ Ἴσθι συνόλως, ὅτι κληρικοὶ πάντες
„ Ἦσαν καὶ φιλόλογοι μεγάλης φήμης,
„ Ὁμοίῳ μύσει μολυνθέντες ἐν κόσμῳ.
„ Πρισκιανὸς οἴχεται μετὰ τῶν ἄλλων,
„ Καὶ Φραγκίσκος Δακόρσος· εἰ δέ γε θέαν
„ Τοιαύτης λέπρας ἐπόθεις, ἐξῆν ἄν σοι
„ Ἰδεῖν ἐκεῖνον, ὃν ὁ δοῦλος τῶν δούλων
„ Εἰς Τογισόνον μετήνεγκεν ἐξ Ἄρνου,
„ Ἔνθ' αὐτοῦ κατέλιπεν ἔκλυτα νεῦρα.

„ Πλείον' ἂν εἶπον· ἀλλ' οὐ δύναμαι λέγειν
„ Ἢ μένειν μακρότερον· νέον γὰρ βλέπω
„ 'Ατμὸν ἀνυψούμενον ἐκ ψαμαθῶνος.
„ Ἔρχετ' ἀγέλη, μεθ' ἧς μ' οὐ δεῖ συνεῖναι·
„ Τὸν ἐμὸν συνιστῶ σοι Θησαυρόν, ἔνθα
„ Ἔτι ζῶν εἰμι, κοὐδὲν ἄλλ' ἐξαιτοῦμαι."
Εἶτ' ἐτράπετο κᾤχετο καθὰ 'κεῖνοι,
Οἳ δὶ ὕφασμα πράσινον ἐν Βηρῶνι
Στάδιον τρέχουσ'· ἐδόκει δ' ἐν τῷ δρόμῳ
Εἶναι νικητής, ἀλλ' οὐ νενικημένος.

ΩΔΗ ΙΣΤʹ.

Συνέχεια.—Μηχάνημα πρὸς κατάβασιν εἰς τὸν ὄγδοον κύκλον.

Ἐν τόπῳ δ' ἦμεν, ἔνθεν ἠκούετ' ἦχος
Ὕδατος εἰς τὸν ἄλλον πίπτοντος κύκλον,
Παρόμοιος τῷ βόμβῳ τῶν μελισσώνων,
Ὅτε σκιαὶ τρεῖς ἀπεσπάσθησαν ἅμα
Τροχάδην τινὸς προβαίνοντος ὁμίλου
Ὑπὸ τὸν ὄμβρον τῆς ἀπηνοῦς βασάνου.
Ἤρχοντο δὲ πρὸς ἡμᾶς, κράζουσ' ἑκάστη·
" Στῆθι σὺ νῦν, ὁ δοκῶν ἐκ σῆς ἐσθῆτος
„ Εἶναί τις τῆς μοχθηρᾶς ἡμῶν πατρίδος."
Φεῦ! οἵας πληγὰς ἐκ φλογῶν εἰς τὰ μέλη
Αὐτῶν ἅμα παλαιὰς καὶ νέας εἶδον!
Ἔτι πάσχω νῦν, ἐνθυμούμενος μόνον.

Ταῖς φωναῖς αὐτῶν προσέσχ' οὑμὸς Ἡγήτωρ·
Καὶ δὴ πρὸς ἐμὲ στραφείς· "Περίμεν' ἤδη,"
Εἶπεν, " εἰ βούλει προσηνὴς αὐτοῖς εἶναι.
„ Εἰ μὴ τὸ πῦρ ἦν, ὅπερ κατατοξεύει
„ Τόπον φύσεως τοιᾶσδ', ἔλεγον ἄν σοι,
„ Ὡς ἥρμοζέ σοι μᾶλλον σπεύδειν ἢ τούτοις."
Ἐπεὶ δ' ἡμεῖς ἔστημεν, ἤρξαντο πάλιν
Τὸν πρῶτον γόον· ἐγγὺς δὲ γεγονότες
Ἐσχημάτισαν οἱ τρεῖς ἑαυτοῖς γῦρον.
Ὡς δ' ἔθος ἔστ' ἀθληταῖς ἀληλιμμένους
Καὶ γυμνοὺς ζητεῖν λαβὴν καὶ προτερήσεις,
Πρὶν ἐν ἀγῶνι συμπλεχθῶσιν ἀλλήλοις,
Οὕτως ἕκαστος στρεφόμενος, τὴν ὄψιν
Πρὸς ἔμ' ἔτεινε, ποδῶν τε καὶ τραχήλων
Ἀπεναντίως ᾀεὶ συγκινουμένων.
" Εἰ τὸ τληπαθὲς ἀμμώδους τόπου τοῦδε,"
Εἷς ἤρξατ' αὐτῶν, " ἡμᾶς καταφρονήτους
„ Ποιεῖ, δεήσεις θ' ἡμῶν, οἰκτράν τε θέαν,
„ Ἡμῶν ἡ φήμη τὴν σὴν ψυχὴν καμψάτω,
„ Ὥστ' εἰπεῖν, τίς εἶ, καὶ πῶς τοὺς ζῶντας πόδας

„ Οὕτως ἀσφαλῶς παρατρίβεις ἐν Ἅδου.
„ Οὗτος, ᾧ μ' ἑπόμενον κατ' ἴχνος βλέπεις,
„ Βαίνων γυμνός τε κἀπολελεπισμένος,
„ Εἶχε μείζονα βαθμὸν ἤπερ νομίζεις.
„ Υἱωνὸς τῆς ἀγαθῆς ἦν Γουαλδράδας·
„ Γιγδογγέρας δ' ὄνομ' ἦν αὐτῷ, κἀν βίῳ
„ Μεγάλ' ἔπραξεν ἔργα καὶ νῷ καὶ σπάθῃ.
„ Ὁ δ' ἕτερος μετ' ἐμὲ πατῶν τὴν ἄμμον,
„ Ἔστ' Ἀλδοβράνδης Τεγγαῖος· οὗ τὴν φήμην
„ Εἶναι προσφιλῆ προσῆκεν ἐν τῷ κόσμῳ·
„ Ἐγὼ δ' ὁ ταχθεὶς σταυρηδὸν μετὰ τούτων
„ Ῥουστικούκης εἰμ' Ἰακώβ· καὶ βεβαίως
„ Ἡ σκληρὰ γυνὴ πρὸ πάντων ὤλεσέ με."
Εἴ γ' ἐν σκέπῃ τοῦ πυρὸς ἤμην, ἐν μέσῳ
Αὐτῶν προσέπεσον ἄν· νομίζω δ' ὅτι
Οὑμὸς Ἡγήτωρ ἐπέτρεψ' ἄν μοι τοῦτο.
Ἀλλ' ὡς ἔμελλον πυρίκαυστος γενέσθαι,
Ἐνίκησεν ὁ φόβος τὴν προθυμίαν,
Τὴν ἀσπάσασθαί μ' αὐτοὺς ποθεῖν ποιοῦσαν.
Εἶτ' ἠρξάμην· "Οὐχ ὕβριν, ἀλλ' ἄχθος μέγα

„ Ἐχάραξε βαθέως ὑμῶν τὰ πάθη
„ Ἀεί τ' ἀνεξαλείπτως ἐν τῇ ψυχῇ μου,
„ Εὐθὺς ὡς οὑμὸς προεῖπέ μοι Προστάτης
„ Τοὺς λόγους, ἐξ ὧν ἐνόησα τοιούτους,
„ Οἷοί περ ὑμεῖς, ἄνδρας ἐλευσομένους.
„ Τῆς ὑμετέρας εἰμὶ κἀγὼ πατρίδος,
„ Τά τ' ἔνδοξ' ὑμῶν ὀνόματα καὶ πράξεις
„ Ἀεὶ προσπαθῶς ἤκουσα καὶ κηρύττω.
„ Τὴν χολὴν ἀφεὶς πρὸς τοὺς καρποὺς ὑπάγω,
„ Οὓς ἀψευδὴς Ἡγήτωρ ὑπέσχετό μοι·
„ Ἀλλ' ἄχρι κέντρου δεῖ με πρὶν καταβῆναι."
—"Εἴθ' ἐπὶ μακρὸν ἡ σὴ ψυχὴ διέποι
„ Τὰ σὰ μέλη!" τότ' ἀπεκρίνατ' ἐκεῖνος·
"Εἴθ' ἡ σὴ φήμη μετὰ σὲ διαλάμψαι!
„ Λέγε, φιλοφροσύνη καὶ γενναιότης
„ Τὴν ἡμετέραν οἰκοῦσ', ὡς πάλαι, πόλιν;
„ Ἢ 'κεῖθεν γεγόνασιν ἔξοροι πάντως;
„ Γουλιέλμος γὰρ Βορσεῖρος, ὁ συμπάσχων
„ Ἡμῖν ἄρτι, νῦν σὺν ὀπαδοῖς ὢν ἄλλοις,
„ Ἡμᾶς λυπεῖ μεγάλως ἐξ ὅσων λέγει."—

—" Ἡ νέα φυλὴ κέρδη τ' ἐξαπιναῖα
„ Ἀλαζονείαν ἐν σοὶ κἀμέτρους τάσεις
„ Ἔτεκον, Φλωρεντία, ἐφ' οἷς καὶ κλαίεις."—
Οὕτως ἔκραξα τὰς ὄψεις ἀνυψώσας.
Ταῦθ' οἱ τρεῖς ἀκούσαντες ἐκπλήκτως εἶδον
Ἀλλήλους, καθὼς ὁ τἀληθὲς ἀκούων.
" Ὡς ἀνέκαθεν οὐ πάνυ τι διστάζεις,"
Ἀπεκρίναντο πάντες, " ἄλλοις ἀρέσκειν,
„ Εὐτυχὴς εἶ σύ, λέγων σαφῶς σὴν γνώμην.
„ Ἀλλ' ἂν τῶν ζόφου χωρῶν τούτων ἐξέλθῃς,
„ Ἐπανίδῃς τε πάλιν λαμπροὺς ἀστέρας,
„ Ὅτε χάρμα μέγ' ἔσται σοι λέγειν—' ἤμην,'
„ Δὸς ὑπὲρ ἡμῶν ἄνω ποιεῖσθαι λόγους."
Εἶτ' ἔλυσαν τὸν γῦρον, καὐτῶν φευγόντων
Πτέρυξιν ἐῴκεισαν οἱ ψιλοὶ πόδες.
Ἀ μ ὴ ν οὐκ ἂν εἴποι τις τάχιον, ὅσον
Ἀφανεῖς αὐτοὶ γεγόνασιν εὐθέως.
Ἐπεὶ δ' ἀπέρχεσθ' οὑμὸς Ἡγήτωρ ἔγνω,
Εἱπόμην αὐτῷ, καὶ μικρόν τι προβάντες
Ἦμεν ἔγγιστα τοῦ τῶν ὑδάτων ἤχου,

Ὥστ᾽ ὁμιλοῦντες ἠκουόμεθα μόλις.
Καθάπερ ὁ ποταμὸς ὁ διαῤῥέων
Πρῶτον ἐν ὄρει Βησούλῳ πρὸς ἑῴαν
Ἐπ᾽ ἀριστερὰ τῆς πλευρᾶς Ἀπεννίνου
Ὑπ᾽ ὄνομ᾽ Ἀκβακέτας πρὸς τἄνω, κλῆσιν
Ἣν ἀποβάλλει καταβὰς εἰς τὴν κάτω
Κοίτην ἐν Φόρῳ Λιβίου, καταπίπτει
Ἀντιβομβῶν ἐπάνω τοῦ Μαρουΐου
Ἐξ ὕψους εἰς φάραγγας, ἔνθα περ ἔδει
Χιλιάσιν ἂν καταφύγιον εἶναι·
Οὕτως ἐκ πέτρας ἀποῤῥωγάδος κάτω
Εὕρομεν περιηχοῦν τὸ βαπτὸν ὕδωρ,
Ὥστ᾽ ἀκοὰς ἐν βραχεῖ κωφὰς γενέσθαι.
Ἐγὼ περὶ τὴν ζώνην εἶχον σχοινίον,
Ὧπερ ἑλεῖν ἄλλοτε διενοούμην
Τὴν ποικιλοδέρματον πάρδαλιν κείνην.
Τοῦτο γοῦν ἀπ᾽ ἐμαυτοῦ συνάπαν λύσας,
Καθά μοι διέταξεν οὑμὸς Ἡγήτωρ,
Παρέσχον αὐτῷ κυκληδὸν εἱλιγμένον.
Οὗτος δ᾽ ἐστράφη πρὸς τὸ δεξιὸν μέρος

Μικρόν τι μακρὰν τῆς προκειμένης ἄκρας,
Αὐτό τ' εἰς βυθὸν ἔῤῥιψε τοῦ βαράθρου.
“'Αναμφιβόλως νέον τι προμηνύει,”
Ἔλεγον κατ' ἐμαυτόν, “ἡ νέα τάσις
„Ἣν ἐμφαίνει τὸ βλέμμα τοὐμοῦ Προστάτου.”
Πόσον φρονίμους δεῖ τοὺς ἀνθρώπους εἶναι
Παρὰ τοῖς μὴ βλέπουσι μόνον εἰς τοὖργον,
Τὰ δ' ἐνδόμυχ' ὁρῶσι τῇ διανοίᾳ!
Εἶπέ μοι δ' αὐτός· “Αὐτίκ' ἄνωθεν ὄψει
„Ὅ, τι προσμένω, καὐτίκ' ἐνώπιόν σου
„Ὅ, τι διαμαντεύῃ φανήσεταί σοι.”
Προσήκει πρὸς τἀληθὲς τὸ ψεύδους φέρον
Σχῆμ', εἰ δυνατόν, κλείειν ἡμᾶς τὰ χείλη,
Ἵνα μὴ χωρὶς σφάλματος αἰσχυνθῶμεν.
'Αλλ' ὧδ' οὐκ ἔχω σιγᾷν, καὶ νὴ τοὺς στίχους
Τῆς κωμῳδίας ταύτης (εἴθ' εὐμενείας
Μακρᾶς τύχοιεν), ἀναγνῶστ', ὄμνυμί σοι,
'Ως διὰ τοῦ ζοφώδους πυκνοῦ τ' ἀέρος
Εἶδον ἀνερχομένην καὶ νηχομένην
Μορφὴν θαμβοῦσαν πᾶσαν ἔμπεδον φρένα,

Οἷος ἀνέρχετ᾽ ἄνθρωπος, ὃς κατέβη
Ἄγκυράν ποτε λύσων ἐπισχεθεῖσαν
Εἰς σκόπελον, εἴτ᾽ ἄλλως ἐν τῇ θαλάσσῃ,
Χεῖρας ἐκτείνων καὶ πόδας ἐπανέλκων.

ΩΔΗ ΙΖ΄.

Ὁ Γηρυών.—Οἱ κατὰ τοῦ Θεοῦ ἐν τέχναις βίαιοι — Κατάβασις εἰς τὸν ὄγδοον κύκλον.

“Ἰδοὺ τὸ τέρας τὴν οὐρὰν ὀξυτόμον,
„ Τιτραῖνον ὄρη, συντρίβον ὅπλα, τείχη·
„ Ἰδοὺ βδέλυγμα τὸ μολῦνον τὸ σύμπαν.”
Οὕτως ἤρξατο λέγων οὑμὸς Ἡγήτωρ·
Αὐτῷ δ' ἔνευσεν ἐλθεῖν ἐγγὺς τῆς ἄκρας
Μέχρι τέλους ὧν διήλθομεν μαρμάρων.
Ἡ δὲ τοῦ Δόλου δυσειδὴς εἰκὼν αὕτη
Ἦλθε κεφαλὴν προτείνουσα καὶ στῆθος,
Ἀλλ' οὐ τὴν οὐρὰν ἔσυρ' ἐπὶ τῆς ὄχθης.
Εἶχε πρόσωπον οἷον ἀνδρὸς δικαίου·
Οὕτως ἦν ἡδὺς κατὰ τὴν ἐκτὸς ὄψιν,
Ἀλλ' ἅπας δράκων κατὰ τὸ λοιπὸν σῶμα.

Τριχώδεις βραχίονας μασχαλῶν μέχρις
Εἶχε· ῥάχιν δέ, στῆθος καὶ πλευρὰς ἄμφω
Κατεστιγμένας πέριξ ὄζοις καὶ γύροις.
Οὔ ποθ᾽ ὕφηναν ποικιλόχρους, πολύχρους
Οἱ Τάρταροι τάπητας, οὔτε μὴν Τοῦρκοι,
Ἀλλ᾽ οὔτ᾽ ἀράχνη ποτ᾽ ἂν ἱστοὺς τοιούτους.
Ὥς ποθ᾽ ἵστανται πρὸς τὴν ὄχθην οἱ λέμβοι
Μέρος μὲν ἐν ὕδασι, μέρος δ᾽ ἐπ᾽ ἄμμου,
Ὥς τ᾽ ἐν ταῖς χώραις τῶν λαιμάργων Τευτόνων
Ὁ κάστωρ κατοπτεύων ἄγραν ὀκλάζει,
Οὕτως εἱστήκει τὸ μυσαχθὲς θηρίον
Εἰς τὸ περὶ τὴν ἄμμον λίθινον χεῖλος.
Ἔσειεν ἐν τῷ κενῷ τὴν οὐρὰν ὅλην,
Ἧς ἀνωρθοῦτο τἄκρον ἐξωπλισμένον,
Ὡς ὁ σκορπίος ἰοβολοῦντι κέντρῳ.
Οὑμὸς δ᾽ Ἡγήτωρ εἶπεν· "Ἡμᾶς νῦν δέον
„Ἐκτραπῆναι τῆς ὁδοῦ πρὸς μικρὸν ἄχρι
„Τοῦ τεταμένου 'κεῖσε κακοῦ θηρίου."
Καταβάντες τότ᾽ εἰς τὸ δεξιὸν μέρος,
Ὡδεύσαμεν ἐπ᾽ ἄκρας βήματα δέκα

Πρὸς ἀποφυγὴν τῶν φλογῶν καὶ τῆς ἄμμου.
Ὡς δ' ἀφικόμεθ' ἐγγὺς αὐτοῦ, τότ' εἶδον
Τινὰς ἐπὶ τῆς ἄμμου μικρόν τι πόῤῥω
Συγκαθημένους πλησίον τοῦ βαράθρου.
Οὑμὸς δ' εἶπε Προστάτης· "Ἵν' ἔχῃς γνῶσιν
„ Τελείαν παντὸς τοῦ περιβόλου τούτου,
„ Νῦν ἄπελθ' ὀψόμενος αὐτῶν βασάνους.
„ Αἱ διαλέξεις ἔστωσάν σοι βραχεῖαι·
„ Ἕως δ' ἦς ἀπών, συνομιλήσω τούτῳ,
„ Ἵν' ὤμους αὐτοῦ στεῤῥοὺς ἡμῖν παράσχῃ."
Οὕτω βαδίζων παρὰ τὴν ἄκραν ὄχθην
Ἑβδόμου τοῦδε κύκλου μεμονωμένος,
Ἦλθον ἔνθ' ἦσαν οἱ καθήμενοι μίγδην.
Ἐξέφλυζ' ἐξ ὀμμάτων αὐτῶν ἡ λύπη·
Ταῖς χερσὶν ἠμύνοντο τῇδε κἀκεῖσε
Τοῦ τε πυρώδους ὄμβρου καὶ θερμῆς ἄμμου.
Οὐκ ἄλλως πως ποιοῦσιν οἱ κύνες θέρους
Μυκτῆρί τε καὶ ποσίν, ὅταν δηχθῶσιν
Ὑπὸ τῶν ψύλλων, ἢ μυιῶν ἢ μυώπων.
Ἐμβλέψας τοῖς ὄμμασιν εἴς τινας τούτων

Τῶν ὑπ' ἀλγεινῶν φλογῶν τοξευομένων,
Οὐδέν' ἀνεγνώρισα, πλὴν εἰς ἑκάστου
Τὸν λαιμὸν βαλάντιον κρεμαστὸν εἶδον,
Ἔχον χρώματα και σημεῖ' ὡρισμένα,
Ἐφ' οἷς ἑστιᾷν τοὺς ὀφθαλμοὺς ἐδόκουν.
Μεταξὺ δ' αὐτῶν παρατηρήσας εἶδον
Βαλάντιον κρόκινον, κυανοῦν φέρον
Σῆμα λέοντος ἔχον ὄψιν καὶ σχῆμα.
Εἶτα τὸ βλέμμα προχωρῶν εἶδον ἄλλο
Ἐρυθρότερον αἵματος, εἰκονίζον
Ἐναργῶς χῆνα γάλακτος λευκοτέραν.
Εἷς δ' οὗ τὸ λευκὸν βαλάντιον συαίνης
Κυανῆς ἐπίτεκος εἶχε σημεῖον,
Εἶπέ μοι· "Σὺ τί ζητεῖς ἐν βόθρῳ τῷδε;
„Ἄπιθι νῦν ἐντεῦθεν, καὶ ζῶν ὢν ἔτι,
„Ἴσθι τὸν γείτονά μου Βιταλιάνον
„Ὧδε καθεδούμενον ἐπὶ λαιά μοι.
„Σὺν Φλωρεντίνοις τοῖσδ' εἰμὶ Παταυῖνος.
„Πολλάκις ἐκώφωσαν τὰς ἀκοάς μου
„Κράζοντες· '"Ἱππεὺς ἐλθέτω κυριάρχης,

„Ὁ τὸ τρίῤῥυγχον βαλάντιον κομίσων." '
Εἶτα τὸ στόμα στρέψας ἔσυρεν ἔξω
Τὴν γλῶσσαν, καθάπερ βοῦς λείχων τὴν ῥῖνα.
Ἐγὼ δὲ φοβούμενος, μὴ μένων πλέον
Ἀπαρέσω τῷ μικρὸν στῆναί μ' εἰπόντι,
Ἦλθον ὀπίσω, λιπὼν ψυχὰς ἐκκόπους.
Εὗρον δ' Ἡγήτορ' ἐμὸν ἀναβάντ' ἤδη
Ἐπὶ τὴν ῥάχιν τοῦ θηριώδους ζώου·
Εἶπε δέ μοι· "Νῦν ἔσο θρασὺς κἀνδρεῖος·
„Οὐ δυνατὸν τοῦ λοιποῦ καταβῆν' ἄλλως.
„Ἀνάβα πρόσθεν, ἐγὼ δ' ἔσομ' ἐν μέσῳ,
„Ἵν' ἐκ τῆς οὐρᾶς μηδὲν κακὸν συμβῇ σοι."
Ὡς ὁ τὸ ῥῖγος ἐγγίζον τεταρταίου
Αἰσθανόμενος, ὠχρούς τ' ὄνυχας ἔχων,
Τρέμει σύνολος, κρυερὸν τόπον βλέπων,
Οὕτως ἤμην, ἀκούσας τοὺς λόγους τούτους·
Ἀλλ' ἐνέπλησάν μ' αἰσχύνης τῆς ποιούσης
Πρόσθεν καλοῦ κυρίου δοῦλον ἀνδρεῖον.
Ἐκάθισα τότ' ἐπὶ τῶν φρικτῶν ὤμων·
Εἰπεῖν δ' ἤθελον (ἀλλ οὐ, καθὼς ᾠόμην,

Ἦλθεν ἡ φωνή), "Λάβε μ' ἐν σαῖς ἀγκάλαις."
Ἀλλ' οὗτος, ὅς μοι καὶ πρότερον πολλάκις
Ἐβοήθησεν, εὐθὺς ἅμ' ἐπιβάντα
Ἰσχυροῖς βραχίοσι συνέσφιγξέ με,
Λέγων· "Γηρυών, κινήθητι νῦν πρόσω,
„ Εὐρὺς τοῖς γύροις, τῇ καταβάσει πρᾶος·
„ Σκόπει περὶ τοῦ νέου βάρους, ὃ φέρεις."
Ὡς τἀκάτιον ἐξέρχεται τῆς ὄχθης
Παλιμπρυμνηδόν, οὕτως ἀπῆρε, κᾆτα
Ὅλος ἐσαλεύετο, καὶ πρὸς τὸ στῆθος
Τὴν οὐρὰν στρέψας, αὐτὴν ἐντεταμένην
Ἐκίνησ' ὡς ἔγχελυν, καὶ τὸν ἀέρα
Τοῖς βραχίοσιν εἰς ἑαυτὸν ἐδέχθη.
Μείζονα φόβον οὐ νομίζω γενέσθαι,
Ὅτε Φαέθων ἔλιπε τὰς ἡνίας,
Κατεκάη δ' οὐρανός, ὡς φαίνετ' ἔτι·
Οὐδ' ὅτ' Ἴκαρος ὁ δύστηνος ᾐσθάνθη
Τὴν πτερῶν πτῶσιν, τοῦ κηροῦ θερμανθέντος,
Αὐτῷ δ' ὁ πατὴρ ἔκραξεν, "Ἐπλανήθης!..."
Ἢ φόβον, ὃν ᾐσθάνθην, ὅτ' ἐν ἀέρι

Εἶδον ἐμαυτὸν ᾐωρημένον ἄνευ
Ἄλλης που θέας ἐκτὸς τῆς τοῦ θηρίου.
Οἴχεται νηχόμενον σχολῇ καὶ βάδην,
Καταβαίνει κυκληδόν· ἐμοὶ δ' οὐκ ἄλλο,
Πλὴν ἄνεμος κατ' ὄψιν καὶ κάτωθέν μου.
Ἤκουον ἤδη χείμαῤῥον δεξιόθεν
Ὑπ' ἐμαυτὸν ποιοῦντα τρομερὸν φλοῖσβον·
Διὸ κεφαλὴν κλίνας ἔβλεπον κάτω.
Τότ' ἤμην πλέον ἔμφοβος ἐκ τῆς θέας
Τοῦ κρημνοῦ, φλόγας βλέπων, στόνους τ' ἀκούων·
Ὅλος δ' ἔντρομος εἰς ἐμαυτὸν συνῆλθον·
Ὅ,τι γὰρ οὐκ ἔβλεπον πρίν, εἶδον τότε,
Τὴν γυροειδῆ κατάβασιν, τοσούτων
Δεινῶν πάντοθεν ἡμῖν προσεγγιζόντων.
Ὡς δ' ἱέραξ, ὃς μακρὸν ἐπὶ πτερύγων
Στάς, καὶ μηδὲν δέλεαρ ἰδὼν μήτ' ὄρνιν,
Ὥστ' ὀρνιθευτὴν λέγειν, 'Φεῦ! καταβαίνεις!'
Ἔγκοπος ἐπανέρχετ' ἔνθεν ἀπέπτη,
Δι' ἑλιγμῶν ἑκατόν, καὶ τοῦ κυρίου
Αὐτοῦ μακρὰν σκυθρωπὸς κἀπειθὴς μένει·

Οὕτω Γηρυὼν ἐν τῷ βυθῷ κατῆλθε
Παρὰ τοὺς πόδας τῆς ἀποκρήμνου πέτρας.
Ἐκεῖθι δʼ ἡμᾶς ἀποθέμενος ἄμφω
Ὤχετο τάχος, ὡς ἐκ χορδῆς τὸ βέλος.

ΩΔΗ ΙΗ'.

Κακόβοθρον ἢ ὁ Ὄγδοος κύκλος, ἔχων δέκα διαιρέσεις διὰ τοὺς δολίους.—Οἱ φθορεῖς γυναικῶν.—Αἱ μάστιγες.—Οἱ κόλακες.—Ὁ κοπρών.

Κακόβοθρον τοὔνομα τόπος ἐν Ἅδου
Ἐστίν, ἅπας πέτρινος καὶ σιδηρόχρους,
Ὡς καὶ τὸ πέριξ αὐτοῦ κυκλωτὸν τεῖχος.
Ὅλως ἐν μέσῳ τῆς λυγρᾶς πεδιάδος
Εὐρὺ καὶ βαθύτατον ὑπάρχει φρέαρ,
Οὗπερ ἄλλοθι τὸ σχῆμα διαγράψω.
Κυκλικὸς τοίνυν ἐστὶν ὁ μένων χῶρος
Ἀπὸ φρέατος πρὸς τὴν ἀποῤῥωγάδα·
Τοὔμβαδὸν δὲ διῄρητ' εἰς δέκ' αὐλῶνας.
Οἷον, ἔνθ' εἰς ἄμυναν τῶν τειχῶν πλεῖσται
Τάφροι περιζευγνῦσι τὰς πύργων ἄκρας,
Τὸ μέρος, ἐν ᾧ κεῖνται, παρέχει σχῆμα,

Εἰκόν᾽ ἐκεῖ τοιαύτην ἐποίουν κεῖνοι.
Ὡς δ᾽ ἀπὸ βάθρων αὐτῶν ἕως τῆς πέραν
Κρηπῖδος ἔχουσ᾽ οἱ πύργοι τὰς γεφύρας,
Οὕτως ἐκ ποδῶν τοῦ σιδηρόχρου τείχους
Σπιλάδες ἐφέροντο διὰ τῶν βόθρων
Ἄχρι φρέατος, οὗ πέριξ συνηνοῦντο.
Εἰς τόπον τόνδε, σεισθέντες ἐπὶ νώτων
Γηρυόνος, ἤλθομεν· οὑμὸς δ᾽ Ἡγήτωρ
Ἐπ᾽ ἀριστερᾶς ἔβαιν᾽, ἐγὼ δ᾽ εἰπόμην.
Εἶδον δ᾽ ἐπὶ δεξιᾷ νέας ὀδύνας,
Νέας βασάνους καὶ βασανιστὰς νέους,
Ὧν ἦν ὅλος ἔμπλεως ὁ πρῶτος βόθρος.
Τοὺς δ᾽ ἁμαρτωλοὺς ἐν βάθει γυμνοὺς εἶδον,
Τοὺς μὲν ἐκεῖθεν πρὸς ἡμᾶς ἐρχομένους,
Τοὺς δ᾽ ἐντεῦθεν μεθ᾽ ἡμῶν πλείονι τάχει,
Ὡς οἱ Ῥωμαῖοι διὰ τὸν πολὺν ὄχλον
Ἐπ᾽ ἔτους ἀφέσεως εἰς δύο τάξεις
Διαβαίνουσι τὴν γέφυραν, εἰς τρόπον
Ὥστ᾽ ἐντεῦθεν ἔχουσιν οἱ μὲν τὰς ὄψεις
Πρὸς τὸ φρούριον καὶ τὸν ἅγιον Πέτρον,

Οἱ δ' ἑτέρωθεν βαδίζουσι πρὸς τοὖρος.
Ἔνθεν κἀκεῖθεν τῆς σιδηρόχρου πέτρας
Εἶδον μάστιξι δαίμονας κερασφόρους
Αὐτοὺς σκληρῶς τύπτοντας ὀπισθιδίως.
Αἴ! πῶς τῇ πρώτῃ τύψει τάς κνήμας ἦρον
Οἱ ταλαίπωροι, οὐδενὸς ἤδη τούτων
Περιμένοντος δευτέραν οὐδὲ τρίτην.
Ἐν ᾧ δ' ἔβαινον, τὸ βλέμμα μου πρὸς ἕνα
Συνέπεσεν· ἐγὼ δὲ παραυτίκ' εἶπον·
"Οὐκ ἤδη πρῶτον αὐτὸν ἐθεασάμην."
Τότε βλέπων εἰς αὐτὸν ἀτενῶς ἔστην·
Ὁ δὲ γλυκὺς Ἡγήτωρ πράξας ὁμοίως
Συνῄνεσ' ὅπως μικρὸν ὀπίσω μείνω.
Ὁ μαστιγίας ὅμως κρυφθῆναι θέλων,
Κατένευσε τὴν ὄψιν, ἀλλὰ ματαίως.
Εἶπον γὰρ αὐτῷ· "Τί χαμαὶ κύπτεις βλέμμα;
„ Εἰ μὴ σῆς μορφῆς ὁ τύπος ἀπατᾷ με,
„ Σὺ Βενέδικος εἶ Κακιανιμῖκος.
„ Τίς δ' εἰς τὰς δριμείας τάσδ' ἤγαγέ σ' ἅλμας;'
Ὁ δὲ πρὸς ἐμέ· "Λυπηρόν μοι τὸ λέγειν·

„ Ἀλλ' ὁ σὸς ἐπείγει με καθαρὸς λόγος,
„ Ὃς ἀναμιμνήσκει με τὸν πάλαι κόσμον.
„ Ἔγωγ' ἤμην, ὃς τὴν ὡραίαν Γισόλαν
„ Ἔπεισ' ἐνδοῦναι τοῖς Μαρκίωνος πόθοις,
„ Κ' εἰ τὸ ῥυπαρὸν ἱστόρημ' ᾄδετ' ἄλλως·
„ Οὐχὶ δὲ μόνος Βονωνὸς ὧδε κλαίω,
„ Ἀλλ' ὁ τόπος ἔμπλεώς ἐστι τοσούτων,
„ Ὅσαι γλῶσσαι νῦν οὐκ ἐξέμαθον λέγειν
„ Σίπα μεταξὺ τῆς Σαυένης καὶ Ῥήνου.
„ Πίστιν δ' ἢ μαρτυρίαν πρὸς τοῦτ' εἰ θέλεις,
„ Φέρ' εἰς μνήμην τὴν ἡμῶν φιλαργυρίαν."
Ὡς ταῦτ' ἔλεγεν, ἔτυψ' αὐτόν τις Δαίμων
Τῇ πανωδύνῳ μάστιγι λέγων· "Ἴθι,
„ Ὧδε, μαστροπέ, γυναῖκες οὐ πωλοῦνται."
Τότ' ἐπανῆλθον ἔνθ' ἦν οὑμὸς Ἡγήτωρ·
Ἥκομεν δ' εἶτα μετὰ βήματ' ὀλίγα,
Ὅπου σπιλάς τις ἐξήρχετ' ἐκ τῆς ὄχθης,
Ῥᾳδίως δ' αὐτὴν ἀνέβημεν, κἀκεῖθεν
Ἐπὶ δεξιᾷ στραφέντες τῆς σπιλάδος
Ἐμακρύνθημεν γύρων τῶνδ' αἰωνίων.

Ὅτε δ' ἤλθομεν ἔνθα κάτωθεν πόρος
Ἐστὶ διδοὺς δίοδον τοῖς μαστιγίαις,
Οὑμὸς Ἡγήτωρ εἶπε· "Μένε καὶ βλέπε
„ Ἀτενῶς τὰς δυσμοίρους ψυχὰς ἐκείνας,
„ Ὧνπερ οὔπω σὺ τὴν ὄψιν ἐθεάσω,
„ Ἅτε μεθ' ἡμῶν ὁμοῦ προσερχομένων."
Ἐκ τῆς παλαιᾶς ἐβλέπομεν γεφύρας
Τὴν ἑτέρωθεν πρὸς ἡμᾶς ἐρχομένην
Σειρὰν μάστιγι τυπτομένην ἐπ' ἴσης.
Οὑμὸς δ' Ἡγήτωρ, πρὶν αὐτὸν ἐρωτήσω,
Εἶπέ μοι· "Βλέπε τὸν μέγαν κεῖνον, ὅστις
„ Ἔρχεται δάκρυ λύπης οὐ δοκῶν χέειν.
„ Ὡς ἔστ' ἔτ' αὐτοῦ βασίλειος ἡ θέα!
„ Ἰάσων οὗτος, ὃς τόλμῃ καὶ συνέσει
„ Ἐκ Κολχίδος τὸ χρυσοῦν ἥρπασε δέρας.
„ Αὐτὸς διαβὰς διὰ τῆς νήσου Λήμνου,
„ Ἔνθ' αἱ τολμηραὶ κἀνηλεεῖς γυναῖκες
„ Ἀπηνῶς κατέκτειναν ἄρσενας πάντας,
„ Μηχανεύμασι καὶ μειλιχίοις λόγοις
„ Ἐξηπάτησε τὴν νέαν Ὑψιπύλην

„ Τὴν πρὶν τὰς ἄλλας ἀπατήσασαν πάσας,
„ Ἔγκυον αὐτὴν ἐκεῖ λιπὼν καὶ μόνην.
„ Τοιοῦτο πταῖσμα τοιαύτην αὐτῷ φέρει
„ Ποινὴν πρὸς ἐκδίκησιν καὶ τῆς Μηδείας·
„ Σὺν αὐτῷ βαίνει πᾶς οὕτως ἀπατήσας.
„ Ἅλις ἔχομεν τοῦ πρώτου νῦν αὐλῶνος
„ Κἀκείνων, ὅσους οὗτος περιλαμβάνει."
Ἤδη δ' ἦμεν ἔνθ' αὐλῶνα διασχίζει
Τὸν δεύτερον ἡ στενὴ τρίβος, καὶ τοῦτον
Ὑποστύλωμα ποιεῖ γεφύρας ἄλλης.
Ἐκεῖθεν ἠκούσαμεν ψυχὰς εἰς βόθρον
Τὸν ἄλλον θρηνῳδούσας, δεινὸν φυσώσας
Τῷ στόματι, κἀλλήλας χερσὶ τυπτούσας.
Εὐρῶτι δ' εἶχε τὰς πλευρὰς ἠλειμμένας,
Ἐκ τοῦ δυσώδους βυθοῦ προερχομένῳ,
Κἀηδεστάτῳ τῇ τ' ὄψει τῇ τ' ὀσφρήσει.
Τοιόνδ' αὐτοῦ τὸ βάθος, ὥστ' οὐδαμόθεν
Θεαθῆναι δύναται, πλὴν τῆς γεφύρας
Ἄνωθεν, ἔνθ' ἡ σπιλὰς ὑπερεξέχει.
Ἤλθομεν ἐκεῖ, κἀκεῖθεν πρὸς τὸν βόθρον

Κύψας βεβυθισμένους εἶδον ἐν κόπρῳ,
Ἐξ ἀνθρωπίνων συῤῥευσάσῃ λυτρώνων.
Ἐν ᾧ δὲ κάτω τοῖς ὄμμασιν ἠρεύνων,
Εἶδόν τιν', ὃς ἔγκοπρον κεφαλὴν εἶχεν·
Ἠπόρουν δ', εἰ λαϊκὸς ἦν ἢ τοῦ κλήρου.
Ἔκραξε δέ μοι· "Τί σύ μ' οὕτως ἀπλήστως
„ Βλέπεις, καὶ πλέον ἢ τοὺς κοπρώδεις ἄλλους;"
Κἀγὼ πρὸς αὐτόν· "Διότι πάλαι σ' εἶδον,
„ Εἴπερ μέμνημ' ἀκριβῶς, στεγνὸν τὴν κόμην.
„ Εἷς Ἀλέξις ἐκ Λούκης Ἰντερμινέλης·
„ Διὸ κἀτενίζω σε πλέον τῶν ἄλλων."
Τότε τὴν αὑτοῦ κεφαλὴν τύψας εἶπεν·
"Ἐνθάδε μ' ἐβύθισαν αἱ κολακεῖαι,
„ Ὧν ἀείποτ' ἦν ἀκάμας ἡ 'μὴ γλῶσσα."
Πρὸς ἐμὲ δ' ἔπειτ' εἶπεν οὑμὸς Ἡγήτωρ·
"Ἀνάτεινον τὰς ὄψεις μικρόν τι πρόσω,
„ Ἵν' ἴδῃς καλῶς τὸ πρόσωπον ἐκείνης
„ Τῆς δεισαλέας ἀελλότριχος κόρης,
„ Τῆς ξεομένης ὄνυξι μεστοῖς κόπρου,
„ Νῦν μὲν ὀκλαδόν, νῦν δ' ὀρθῶς ἱσταμένης.

„ Ἡ πόρνη Θαΐς ἐστιν, ἥτις συγκοίτῳ
„ Ἀπεκρίθη λέγοντι· ‘“ Μεγάλας δή μοι
„ Χάριτας ὄφλεις;” ’—“ Ναὶ μὴν καὶ θαυμασίας!”—
“ Ἀλλὰ νῦν ἅλις ἡμῶν τὰ βλέμματ’ εἶδεν.”

ΩΔΗ ΙΘ΄.

Οἱ Σιμωνιακοὶ ἢ Θεοκάπηλοι.—Αἱ καίουσαι ὀπαί.—
Ὁ Πάπας Νικόλαος Γ΄.—Ἄλλοι Πάπαι.

Ὦ μάγε Σίμων, ὦ συνοπαδοὶ φαῦλοι,
Οἱ τὰ θεῖα πράγματα τἀγαθοῖς μόνοις
Ἀνήκοντα, συζύγοις ὡς, ὑμεῖς φῶρες
Προαγωγεύετ' ἀντὶ χρυσοῦ κἀργύρου!
Νυνὶ δι' ἡμᾶς ἡ σάλπιγξ ἠχησάτω,
Ἀνθ' ὧν εἰς τρίτον ἐβυθίσθητε βόθρον.
Τέως ἤλθομεν εἰς τὸν ἐφεξῆς τύμβον,
Εἰς μέρος, ἔνθ' ἡ σπιλὰς πρὸς τὸ τοῦ βόθρου
Μέσον κατὰ κάθετον ὑπερεξέχει.
Ὦ μεγίστη Σοφία, πῶς ἡ σὴ τέχνη
Ἐμφαίνετ' ἐν οὐρανοῖς, ἐν γῇ κἀν Ἅδου!
Πόσον δικαία πρὸς πάντας ἡ σὴ δίκη!
Ἐπὶ τῶν πλευρῶν καὶ τοῦ βάθους τὴν πέτραν
Τὴν πελιδναίαν πλήθουσαν ὀπῶν εἶδον,

Ἴσων τὸ πλάτος καὶ περιφερῶν ὅλως.
Οὔτε πλέον οὐδ᾽ ἧττον ἦσαν μεγάλαι
Τῶν οὐσῶν ἐν καλῷ μου ναῷ τοῦ θείου
Προδρόμου πρὸς τὸν τόπον τῶν βαπτιζόντων,
Ὧν κατέαξα πρό τινων ἐτῶν μίαν,
Ἵνα τίν᾽ ἐντὸς πνιγόμενον λυτρώσω·
Τόδ᾽ ἀναίρεσις ἔστω πάσης ἀπάτης.
Ἐξήρχοντ᾽ ἐξ ἑκάστης τῶν ὀπῶν τούτων
Οἱ πόδες τινὸς τῶν ἁμαρτωλῶν, ἕως
Γαστροκνημίων· τὸ λοιπὸν δ᾽ ἔμεν᾽ ἔνδον.
Ἔμπυροι δ᾽ ἦσαν αἱ πέζαι πᾶσιν ἄμφω·
Οἱ δ᾽ ἁρμοὶ σφοδρῶς συνεστρέφοντο τόσον,
Ὥστε κάλως ἂν διέῤῥηξαν καὶ πέδας.
Ὡς δ᾽ ἡ φλὸξ περιφέρετ᾽ ἐπιπολαίως
Ἐπὶ πραγμάτων ἠλειμμένων ἐλαίῳ,
Οὕτω πως ἦσαν ἐκ πτερνῶν ἄχρις ἄκρων.
"Τίς ἔσθ᾽ ὁ κινούμενος," εἶπον, "Προστάτα,
„Καὶ περιστρεφόμενος πλέον τῶν ἄλλων,
„Ὅνπερ ἐρυθροτέρα φλὸξ περιφλέγει;"
Ὁ δ᾽ ὑπέλαβεν. "Εἰ θέλεις ἀγαγεῖν σε

„ Κάτω πρὸς τὸ κάταντες τοῦ κρημνοῦ μέρος,
„ Τίς ἔστ᾽ εἴσῃ παρ᾽ αὐτοῦ, καὐτοῦ τὰς πράξεις."
Κἀγώ· "Πᾶν τἀρέσκον σοι κἀμοί γ᾽ ἀρέσκει·
„ Σύ μοι κύριος, εἰδώς με σῇ βουλήσει
„ Ἐμμένοντ᾽ ᾀεί, νοῶν τε σιωπῶντα."
Εἰς τὸν τέταρτον τότ᾽ ἤλθομεν αὐλῶνα·
Πρὸς τἀριστερὰ κατέβημεν, στραφέντες
Παρὰ τὸ στενὸν καὶ βαθύτρητον βάθος.
Ὁ Προστάτης δέ μ᾽ ἐβάσταζ᾽ ἐν ἀγκάλαις,
Ἕως ἐγγὺς τῆς ὀπῆς ἔθετ᾽ ἐκείνου,
Ὃς οὕτω σφόδρ᾽ ἔκλαιε, κινῶν τοὺς πόδας.
"Οἷός ποτ᾽ ἂν ᾖς, ὁ τἄνω φέρων κάτω,
„ Πνεῦμα τάλαν, πεπηγὸς πατάλου δίκην,"
Ἠρξάμην λέγων, "εἴ σοι δυνατόν, λάλει."
Ἱστάμην ὡς ἱερεὺς διεξετάζων
Δολοφόνον, ὃς ἐντεθαμμένος ἤδη
Αὐτὸν πρὸς ἀναβολὴν καλεῖ θανάτου.
Οὗτος δ᾽ ἔκραξε· "Πῶς ὧδ᾽ ὄρθιος ἤδη;
„ Βονιφάκιε, πῶς ὧδ᾽ ὄρθιος ἤδη;
„ Ἐψεύσθη μοι τὸ γραπτὸν κατὰ πόλλ᾽ ἔτη.

„ Ἐκορέσθης ἤδη σὺ τοῦ χρυσοῦ 'κείνου,
„ Δι' ὃν οὐκ ἐφοβήθης ἁρπάσαι δόλῳ
„ Τὴν καλὴν κυρίαν, ἣν ὕβρισας εἶτα;"
Ἐγενόμην, ὡς οἱ μὴ καλῶς νοοῦντες
Τὰ ῥηθέντ' αὐτοῖς μένουσιν ἐν αἰσχύνῃ
Σχεδόν, ἀμηχανοῦντες ἀποκριθῆναι.
Τότ' εἶπε Βιργίλιος· "Λέγ' αὐτῷ τάχος·
„ Οὐκ εἶμ' ἐκεῖνος, οὐκ εἶμ' ἐκεῖνος, ὅνπερ
„ Νομίζεις·" Ἀπεκρίθην δ' ὡς διετάχθην.
Τότ' ἔστρεψε τὸ πνεῦμα τοὺς πόδας ἄμφω·
Εἶτα στενάζον, οἰμωκτικῇ φωνῇ τε
Εἶπέ μοι· "Λοιπὸν τί βούλει μέ σοι λέγειν;
„ Εἴπερ μαθεῖν, τίς εἰμι, σὺ ποθῶν μόνον
„ Τὸν περίβολον τοῦτον διῆλθες, ἴσθι
„ Ὡς τὴν ἱερὰν περιεβλήθην χλαῖναν.
„ Ἄρκτου δ' ὄντως ἦν υἱός· ἄπληστος δ' οὕτω
„ Πρὸς τὸ πλουτίσαι πάντας ἀρκτύλους, ὥστε
„ Ἐτέθην, ὡς ἔπραττον, ἐν βαλαντίῳ.
„ Κάτω τῆς ἐμῆς κεφαλῆς εἰσι πάντες
„ Ἄλλοι πρὶν ἐμοῦ πράξαντες σιμωνίαν,

„ Ἐν τῷ χάσματι τῆς πέτρας τεθλιμμένοι.
„ Ἐκεῖ περιτροπάδην κἀγὼ πεσοῦμαι,
„ Ἅμ' ἔλθῃ 'κεῖνος, οἷον ὑπέλαβόν σε,
„ Ὁπότ' ἄρτι προπετῶς ἠρώτησά σε.
„ Ἀλλ' οὑμοὶ πόδες ἤδη πλείονα χρόνον
„ Περιφλέγονται, κἀγὼ κεῖμ' ἄνω κάτω,
„ Ἧπερ ἐκεῖνος μενεῖ τοὺς πόδας ἔμφλοξ.
„ Μετ' αὐτὸν δ' ἥξει ποιμὴν χείρων τὰς πράξεις,
„ Ἀθέμιστος δυσμόθεν, ὃς ἡμᾶς ἄμφω
„ Διαδέξεται. Νέος ἔσετ' Ἰάσων,
„ Οὗπερ ἐν Μακκαβαίοις γίνεται μνήμη.
„ Ὡς δ' ὁ βασιλεὺς μαλακὸς ἦν ἐκείνῳ,
„ Τοιοῦτος ἔσται τούτῳ Γαλλίας ἄναξ."
Οὐκ οἶδ', εἰ πάνυ προπετὴς ἐγενόμην·
Ἀπεκρίθην γὰρ αὐτῷ τῷδε τῷ τρόπῳ·
" Λέγε νῦν, ὁ Κύριος ἡμῶν τίν' ἆρα
„ Μισθὸν ᾔτησε παρὰ τοῦ θείου Πέτρου,
„ Ὅτ' ἔθετ' ἐν ταῖς χερσὶν αὐτοῦ τὰς κλεῖδας;
„ Οὐκ ἄλλον δή, πλὴν " ἀκολούθει μοι " μόνον.
„ Οὔτε Πέτρος οὔτ' ἄλλοι παρὰ Ματθίου

„Ἤτησαν χρυσὸν οὔτ᾽ ἄργυρον, ὁπότε
„Ἔσχε τὴν θέσιν, ἣν εἶχεν ὁ Προδότης.
„Μέν᾽ ἐκεῖ λοιπόν· δικαίαν ποινὴν φέρε
„Νῦν, καὶ τήρει τὰ κακῶς θησαυρισθέντα,
„Ἅ σ᾽ ἐποίησε θρασὺν κατὰ Καρόλου.
„Εἰ δὲ μή μ᾽ ἀνέστελλεν ὃ φέρω σέβας
„Πρὸς τὰς ἱερὰς κλεῖδας, ἅσπερ ἐκράτεις
„Ἐν τῷ γλυκερῷ βίῳ, δηκτικωτέροις
„Ἐχρησάμην ἂν λόγοις· καὶ γὰρ τὸν κόσμον
„Ἡ φλέγουσ᾽ ὑμᾶς λυπεῖ φιλαργυρία,
„Καταπατοῦσα χρηστούς, ὑψοῦσα φαύλους.
„Ὑμᾶς ἐνόει, ποιμένες, ὁ προγνώστης
„Εὐαγγελιστής, ἰδὼν τὴν καθημένην
„Ἐφ᾽ ὑδάτων τε καὶ μετὰ βασιλέων
„Πορνευομένην, τὴν σὺν ἑπτὰ τεχθεῖσαν
„Κεφαλαῖς, καὶ φέρουσαν κέρατα δέκα,
„Ἕως ἀρετὴν ὁ σύζυγος ἠγάπα.
„Θεὸν ἐκ χρυσοῦ ᾽ποιήσασθε κἀργύρου.
„Ὑμεῖς τί διαφέρετ᾽ εἰδωλολάτρου,
„Πλὴν ὁ μὲν ἑνός, μυρίων δ᾽ ὑμεῖς λάτραι;

„ Αἴ, Κωνσταντῖνε, πόσων κακῶν αἰτία,
„ Οὐχ ἡ σὴ προσήλυσις, ἀλλ' ἡ δοθεῖσα
„ Ὑπὸ σοῦ προὶξ τῷ πρώτῳ πατρὶ πλουσίῳ!"
Ἐν ᾧ δ' ἔψαλλον αὐτῷ τοὺς τόνους τούτους,
Ἢ δι' ὀργήν, ἢ τύψιν τοῦ συνειδότος,
Ἐστροφάλιζε σφοδρῶς τοὺς πόδας ἄμφω.
Οὑμὸς δ' Ἡγήτωρ ἠρέσθη μοι, νομίζω·
Ἠκροᾶτο γὰρ ᾀεὶ κεχαρισμένως
Οὓς εἶπον διαῤῥήδην ἀληθεῖς λόγους.
Ἐν βραχίοσι δ' αὐτοῦ παραλαβών με,
Ἐπὶ τοῦ στήθους ὕψωσέ με, καὶ πάλιν
Ἀνήγαγ' εἰς τὴν ὁδόν, ὅθεν κατέβη·
Οὐδ' ἐπαύσατο φέρων μ' ἐν ταῖς ἀγκάλαις,
Ἕως ἀφίκετ' ἐπ' ἄκρας τῆς γεφύρας
Ἐκ περιβόλου τετάρτου πρὸς τὸν πέμπτον.
Ἁβρῶς ἀπέθετ' ἐκεῖ τὸ γλυκὺ βάρος
Ἐπὶ σπιλάδος ἀγρίας καὶ κρημνώδους,
Ἥτις ἄβατος ἂν ἦν καὐτοῖς τοῖς τράγοις·
Ἐκεῖθεν δ' αὐλῶν' ἀνεκάλυπτον ἄλλον.

ΩΔΗ Κ'.

*Οἱ Μάντεις καὶ Μάγοι.—Οἱ στρεψικέφαλοι.—
Ἡ Μαντώ.*

Νέας στιχουργεῖν προσήκει μοι βασάνους,
Καὶ πρὸς ᾠδὴν εἰκοστὴν τοῦ τῶν ἐν ᾍδου
Πρώτου μου μέλους ὕλην παρασκευάσαι.
Ὅλος ἤδη προσέχων εἰς τὸν φανέντα
Βυθὸν ἔβλεπον, ὃς ἐπικεκλυσμένος
Ἦν πλημμυρίσι δακρύων πολυστόνων.
Ψυχὰς δ' εἰς τὸν στρογγύλον εἶδον αὐλῶνα
Ἐρχομένας ἐν σιγῇ καὶ κλαυθμοῖς βάδην,
Ὡς ποιοῦσ' ἐν τῷ κόσμῳ τὰς λιτανείας.
Τοὺς ὀφθαλμοὺς δὲ πρὸς αὐτὰς τείναντί μοι
Ἐδόκει παραδόξως ἔχουσ' ἑκάστη
Τὸν πώγων' ἐστραμμένον ἀπ' ἄκρας στήθους,
Καὶ πρὸς τοὺς νεφροὺς τὴν ὄψιν τετραμμένην,
Ἀνὰ πόδα βαδίζειν βιαζομένη,

Ὡς εἰς τοὔμπροσθεν οὐ δυναμένη βλέπειν.
Ἐνδέχετ᾽ ἐξ αἰτίας παραλυσίας
Ἐξ αὐτῶν τινας οὕτως ἐξαρθρωθῆναι·
Ἀλλ᾽ ἐγὼ τοῦτ᾽ οὐκ εἶδον, οὔτε νομίζω.
Εἴθ᾽ ὁ Θεός σοι παράσχοιτ᾽, ἀναγνῶστα,
Ἐκ τῆς ἀναγνώσεως καρπόν, καὶ σκόπει,
Εἰ στεγνοῖς ἠδυνάμην ὀφθαλμοῖς μένειν,
Τὴν εἰκόν᾽ ἡμῶν ἐκ τοῦ σύνεγγυς βλέπων
Οὕτως ἐξηρθρωμένην, ὥστε τὸ δάκρυ
Ῥέειν ἐπὶ τοὺς γλουτοὺς ἐκ τῶν ὀμμάτων.
Ἔκλαιον δ᾽ ἠρεισμένος ἐπὶ γωνίαν
Τοῦ σκληροῦ κρημνοῦ· τότε δ᾽ οὑμὸς Ἡγήτωρ
Εἶπεν· "Ἔτι σὺ τῶν ἀφρόνων εἶς ἄλλων;
„Ὧδ᾽ ἔλεος ζῇ, καίτοι τεθνηκὼς ἤδη.
„Ἔστι τις μᾶλλον ἐπίψογος ἐκείνου,
„Ὃς οὓς Θεὸς ἐδίκασ᾽ αὐτὸς οἰκτείρει;
„Ἆρον, ἆρον κεφαλήν· ἐκεῖνον βλέπε,
„Ὃν κατέπιεν ἡ γῆ πρὸ τῶν ὀμμάτων
„ Τῶν Θηβαίων κραζόντων· '"Ποῦ δὴ σὺ πίπτεις,
„ Ἀμφιάραε; τί τὸν πόλεμον φεύγεις;" '—

" Εἰς βυθὸν ἀπὸ βυθοῦ κατεκυλίσθη
„ Ἄχρι Μίνωος τοῦ δραττομένου πάντων.
„ Σκόπει, πῶς ἐποιήσατ' ἐξ ὤμων στῆθος·
„ Θέλων γὰρ βλέπειν λίαν πρόσω, νῦν βλέπει
„ Ἐξόπισθεν, βαδίζων ἀναστροφάδην.
„ Ἰδὲ τὸν Τειρεσίαν, ὃς μετεπλάσθη,
„ Ἐξ ἀνδρὸς γυνὴ γενόμενος, καὶ πάντων
„ Ὁμοῦ τῶν μελῶν αὐτοῦ μεταλλαχθέντων,
„ Ὥστ' ἐδέησεν αὐτὸν πάλιν τῇ ῥάβδῳ
„ Τύψαι τοὺς δύο συμπεπλεγμένους ὄφεις,
„ Πρὶν τὴν ἀνδρικὴν ἐπαναλάβῃ φύσιν.
„ Ὅδ' ἔστ' Ἀρόντας, ἐπ' αὐτοῦ τὴν γαστέρα
„ Τὰ νῶτ' ἐρείδων, ὃς ἐν ὄρεσι Λούνης,
„ Ἔνθ' ὁ Καῤῥαρεὺς ἐν τῇ κάτω κοιλάδι
„ Ῥέει, σπήλαιον ἔσχ' ἐκ λευκῶν μαρμάρων
„ Πρὸς κατοικίαν, ὅθεν θεωρεῖν εἶχεν
„ Ἀστέρας καὶ θάλασσαν ἀνεμποδίστως.
„ Ἐκείνη δ', ἡ πλοκάμοις περικαλύπτει
„ Λελυμένοις τοὺς μαστούς, ὅπερ οὐ βλέπεις,
„ Ἀνάστροφόν τ' ἔχει πᾶν τριχῶδες δέρμα,

„Ἠν Μαντώ, διὰ πολλῶν πλανητευθεῖσα
„Τόπων, ἣ τέλος ἦλθεν ἔνθ' ἐγεννήθην·
„Διὸ καὶ σέ μου μικρὸν ἀκούειν θέλω.
„Τοῦ πατρὸς αὐτῆς τῆς ζωῆς ἐξελθόντος,
„Καὶ δουλωθείσης τῆς πόλεως τοῦ Βάκχου,
„Αὕτη τὸν κόσμον ἐπὶ μακρὸν διῆλθεν.
„Ἐν Ἰταλίᾳ τῇ καλῇ κεῖται λίμνη
„Ὑπ' Ἄλπεις τὰς κυκλούσας τὴν Γερμανίαν
„Ὑπὲρ Τύριλιν, ἣ Βήνακος καλεῖται.
„Πλείους χιλίων πηγαὶ τὸν Ἀπεννῖνον
„Ἀρδεύουσ' ἐντὸς τῆς κοιλάδος Καμούνων·
„Τὰ δ' ὕδατ' εἶτα σωρεύετ' ἐν τῇ λίμνῃ.
„Μεσηγὺς δ' ἔστι τόπος ἔνθα Τριδέντου,
„Βριξίας καὶ Βηρώνης ἐξῆν ποιμέσιν
„Εὐλογεῖν, εἰ πορείαν τήνδ' ἐποιοῦντο.
„Πισκαρία δέ, καλὸν κὠχυρὸν τεῖχος
„Ἀπαντικρὺ Βριξίων καὶ Βεργαμίνων
„Παρὰ τὴν ὄχθην τὴν κατωτέρω κεῖται.
„Ἐκεῖ δ' ἐκρέει πᾶν περισσεῦον ὕδωρ,
„Ὃ χωρεῖν οὐ δύναται Βηνάκου στέρνα,

„ Ποιοῦν ποταμὸν διὰ χλωρῶν λειμώνων.
„ 'Εντεῦθεν ῥέων ὁ ποταμὸς καλεῖται
„ Οὐχὶ Βήνακος, ἀλλὰ Μίγκιος, ἕως
„ Εἰς τὸ Γοβέρνον, ἔνθ' ἐκχεῖτ' ἐν τῷ Πάδῳ.
„ Μετ' οὐ μακρὸν ῥοῦν προσπίπτει πεδιάδι,
„ Ἔνθ' ἐπεκτεινόμενος ἐπιλιμνάζει,
„ Πρόξενος νόσων καθιστάμενος θέρους.
„ Ἡ δ' ἀγροῖκος παρθένος, ὅτε διέβη
„ 'Εκεῖθεν, εἶδεν ἐν μέσῳ τοῦ τενάγους
„ Γῆν ἀκαλλιέργητον, γυμνὴν κατοίκων.
„ 'Εκεῖ φεύγουσα πᾶσαν ἀνθρώπων σχέσιν
„ Κατέστη σὺν τοῖς δούλοις, τὴν αὑτῆς τέχνην
„ 'Ασκοῦσα καὶ ζήσασα μέχρι θανάτου.
„ Ἄνθρωποι δὲ τὰς πέριξ οἰκοῦντες χώρας
„ 'Εκεῖ συνῆλθον, ὄντος τοῦ τόπου 'κείνου
„ 'Οχυροῦ πανταχόθεν ἐκ τοῦ τενάγους·
„ Κἀπὶ τῶν ὀστῶν τῆς τεθνηκυίας πόλιν
„ Ἔκτισαν ἐπώνυμον τῆς ἐκλεξάσης
„ Τὸν τόπον, ἡ Μάντυα τότ' ὠνομάσθη.
„ Παμπληθὴς δ' αὐτὴν λαὸς κατῴκει πάλαι,

,, Πρὶν ἢ τὴν Κασαλόδου μωρίαν δόλῳ
,, Ὑπερεξηπάτησεν ὁ Πιναμόντης.
,, Ὑπομιμνήσκω σε τάδ' ὅπως, ἣν ἄλλην
,, Γενέθλην ποτ' ἀκούσῃς ἐμῆς πατρίδος,
,, Τὴν ἀλήθειαν μὴ δολώσῃ τὸ ψεῦδος."
Κἀγώ· " Προστάτα, τοσοῦτον οἱ σοὶ λόγοι
,, Σαφεῖς εἰσι, καὶ πίστιν ἐμπνέουσί μοι,
,, Ὥστ' εἴη μοι πᾶς ἄλλος ἐσβηκὼς ἄνθραξ.
,, Ἀλλὰ λέγε μοι τοῦ προβαίνοντος πλήθους
,, Εἴ τινα ψυχὴν εἶδες ἀξίαν λόγου·
,, Τοῦτο γὰρ μόνον ἐπασχολεῖ τὸν νοῦν μου."
Τότε δ' εἶπέ μοι· " Κεῖνος, οὗπερ ὁ πώγων
,, Ἐκ τῆς γέννυος φαιοὺς ὤμους καλύπτει,
,, Ἦν (ὅτ' ἔρημος ὑπῆρχ' Ἑλλὰς ἀῤῥένων,
,, Μόλις τινῶν μενόντων ἐν τοῖς σπαργάνοις),
,, Οἰωνοσκόπος, ὁ σὺν Κάλχαντι νεῦμα
,, Τέμνειν τὸν πρῶτον κάλων δοὺς ἐν Αὐλίδι·
,, Εὐρύπυλος τοὔνομα, καθάπερ ᾄδει
,, Ἐμοῦ που τοῦτον ἡ σαφὴς τραγῳδία,
,, Ὡς οὐκ ἀγνοεῖς, εἰδὼς αὐτὴν ἐκ στήθους.

„ Ὁ δὲ τὰ πλευρὰ κάτισχνος οὗτος ἄλλος
„ Μιχαὴλ ἦν ὁ Σκόττος, ὃς ὄντως δόλων
„ Μαγγανευτικῶν ἠπίστατο τὴν τέχνην.
„ Βλέπε Γουΐδον Βονάτην, βλέπ' Ἀσδέντην,
„ Ὃς καταλιπὼν καλώδιον καὶ βύρσαν
„ Ἐπὶ βλάβῃ, νῦν μετανοεῖ βραδέως.
„ Ἰδὲ ταλαίνας, αἳ βελόνης κἀτράκτου
„ Καὶ τῆς κερκίδος προείλοντο μαγείας,
„ Ἃς διέπραττον εἰκόσι καὶ βοτάναις.
„ Ἐλθὲ νῦν· καὶ γὰρ τὸν ὅρον ἡμιπόλων
„ Δύο κατέχει Κάϊν φέρων ἀκάνθας,
„ Ὑπό θ' Ἴσπαλιν ἐγγὺς θαλάσσης κεῖται.
„ Ἡ σελήνη δ' ἦν χθὲς νύκτωρ πλήρης ἤδη,
„ Ὡς δεῖ μεμνῆσθαί σ'· οὐ γὰρ διὰ δρυμῶνος
„ Τοῦ ζοφώδους ὀλίγον ὠφέλησέ σε."
Ταῦτ' ἔλεγέ μοι, καὶ προὐβαίνομεν πρόσω.

ΩΔΗ ΚΑ΄.

*Οἱ ἀπατεῶνες—Ἡ βράζουσα πίσσα.—
Οἱ Κακώνυχες.*

Ἀπὸ γεφύρας εἰς γέφυραν ἰόντες,
Ἄλλα λέγοντες, ἃ τῇ ᾿μῇ κωμῳδίᾳ
Οὐ μέλει ψάλλειν, ἀνέβημεν τὴν ἄκραν.
Ἐνθάδ' ἔστημεν ὀψόμενοι τοὺς ἄλλους
Κλαυθμοὺς καὶ τἆλλο χάσμα τοῦ Κακοβόθρου,
Ὅπερ ὑπερβολίκῶς σκοτεινὸν εἶδον.
Ὥσπερ ἐν τῶν Ἐνετῶν τῷ ναυπηγείῳ
Γλοιώδης πίσσα βράζει χειμῶνος ὥρᾳ
Πρὸς ἐπίπλασιν τῶν βεβλαμμένων πλοίων
Καὶ μὴ πλωΐμων· συγχρόνως δ' ὁ μὲν νέον
Κατασκευάζει πλοῖον, ὁ δ' ἀποφράττει
Τὰ πλευρὰ τοῦ πλοῦς πολλοὺς πεποιηκότος·

Οὗτος κόπτει τὴν πρώραν, αὐτὸς τὴν πρύμνην,
Ἄλλος πελεκᾷ κώπας, ἢ στρέφει κάλως,
Ἄλλος δ' ὀθόνην κἀρτέμον' ἀναῤῥάπτει·
Οὕτως οὐ διὰ πυρός, θείᾳ δὲ τέχνῃ,
Ἐκεῖσ' ἔβραζεν ἄσφαλτός τις παχεῖα,
Χρίουσα πανταχόθεν τὸ πέριξ χεῖλος.
Ἔβλεπον αὐτήν· ἀλλ' οὐκ ἔβλεπον ἔνδον,
Εἰ μὴ τοὺς βρασμούς, οὓς ὑπῆρεν ἡ ζέσις,
Οἰδαίνουσ' αὐτὴν καὶ καθιεῖσα πάλιν.
Μεταξὺ δὲ θεωροῦντ' ἀτενῶς κάτω,
Οὑμὸς Ἡγήτωρ· "Πρόσχες, φύλαξαι!" λέγων
Εἵλκυσέ μ' ἐκ τοῦ μέρους, ἔνθ' εὑρισκόμην.
Τότε δ' ἐστράφην, ὡς ὁ ποθῶν ἐνθέρμως
Ἰδεῖν ἅπερ ἂν αὐτῷ συμφέροι φεύγειν,
Ἀλλὰ συσχεθεὶς ἐξαπιναίῳ φόβῳ,
Ἅμ' ἀτενίζων τὴν φυγὴν ἐπισπεύδει.
Εἶδον δ' ὄπισθεν ἡμῶν ἐπὶ τὴν ἄκραν
Μέλανα δαίμον' ἐρχόμενον δρομαίως.
Φεῦ! ὢ πόσον ἦν τὴν θέαν θηριώδης!
Καὶ πόσον ὀξὺς ἐδόκει μοι τὴν τάσιν,

Ἔχων ἀνοικτὰ πτερὰ κὠκεῖς τοὺς πόδας!
Ἐπ' ὤμου δὲ προμήκους καὶ γωνιώδους
Ἔφερεν ἁμαρτωλὸν ἐκ τῆς ὀσφύος,
Περιέσφιγγέ τ' αὐτὸν τοῖς ποδῶν νεύροις.
"Ὦ Κακώνυχες τῆς γεφύρας τῆσδ'," εἶπεν,
"Ἰδοὺ τῶν γερόντων εἷς Ἁγίας Ζιτας.
„Θέτ' αὐτὸν ὑπὸ βυθόν· ἐγὼ δ' ὑπάγω
„Πάλιν δι' ἄλλους, ὧν πλήρης ἔσθ' ἡ χώρα.
„Πάντες εἴσ' ἐκεῖ φένακες, πλὴν Βοντούρου·
„Τὸ γὰρ Οὔ τρέπουσ' εἰς Ναὶ χρημάτων χάριν."
Αὐτὸν δὲ κάτω ῥίψας, πρὸς τὴν κρημνώδη
Ἄκραν ἐπέστρεψ'· οὔποτε δ' ὠκυτέρως
Κύων ἀφεθεὶς ἐδίωξε τὸν κλέπτην.
Ὁ δὲ βυθισθείς, συγκαμπτος ἐπανέβη·
Ἀλλ' οἱ δαίμονες οἱ κάτωθεν γεφύρας
Ἔκραζον· "Ὧδ' οὐκ ἔστιν εἰκὼν ἁγία.
„Οὐ νήχοντ' ἐνθάδ' ὡς ἐν Αἴσαρος ῥείθροις.
„Εἰ θέλεις οὖν τὰς ἡμῶν φυγεῖν ἁρπάγας,
„Σκόπει μὴ πλέεις ὕπερθεν τῆς ἀσφάλτου."
Εἶτα κεντοῦντες αὐτὸν ἑκατὸν ἅρπαις

Εἶπον· “ Δεῖ σε νῦν ὑπὸ σκέπην χορεύειν
„ Κρύβδην τε καπηλεύειν, εἰ δυνατόν σοι.”
Οὐκ ἄλλως οἱ μάγειροι τοῖς συνεργάταις
Διατάττουσιν εἰς μέσον τῶν λεβήτων
Ὠθεῖν κρεάργαις τἀπιπλέοντα κρέα.
Ὁ δ’ ἀγαθὸς Προστάτης· “Ἵνα μή σ’ ὧδε,”
Εἶπε, “ Παρόντ’ αἴσθωνται, κάτω νῦν στῆθι
„ Ὄπισθεν πετρῶν, ὅπως ἀσφαλῶς ἔχῃς.
„ Περὶ βλάβης μοι τυχὸν γενησομένης
„ Μὴ φοβοῦ· γινώσκω γὰρ τἀνθάδε πάντα
„ Ὡς ἐντυχὼν ἄλλοτε τοιαύτῃ πάλῃ.”
Ἐκεῖθεν εἶτα τὴν γέφυραν διέβη·
Ὅτε δ’ ἀφίκετ’ ἐπὶ τὴν ἕκτην ὄχθην,
Ἐδέησ’ αὐτὸν γενναῖον δεῖξαι στῆθος.
Μεθ’ ὁρμῆς καὶ μανίας, μεθ’ ἧς οἱ κύνες
Ἐπιπίπτουσιν ἐπὶ πτωχὸν ἀλήτην
Αἴφνης ἐφιστάμενον καὶ προσαιτοῦντα,
Ἐξῆλθον οὗτοι κάτωθεν τῆς γεφύρας,
Τὰς ἁρπάγας τρέψαντες κατ’ αὐτοῦ πάσας.
Αὐτὸς δ’ ἔκραξε· “ Μηδεὶς ὑμῶν τολμάτω·

„ Πρὸ τοῦ ψαῦσαί μου τὴν ὑμετέραν ἅρπην
„ Ἀκούσων μού τις ἐξ ὑμῶν ὧδ' ἐλθέτω,
„ Κἄπειτα τοῦ βάλλειν με σκέψις γενέσθω."
—"Ὕπαγε σύ, Κάκουρε," κράζουσι πάντες.
Τῶν δ' ἄλλων ἠρεμούντων, πρὸς τὸν Προστάτην
Εἷς αὐτῶν ἐλθὼν ἠρώτα· "Τίνος δέῃ;"—
—"Ὦ Κάκουρε, νομίζεις ἰδεῖν ἐνταῦθα
„ Ἀφιγμένον με," τότ' εἶπεν ὁ Προστάτης,
„ Ἐν ἀσφαλείᾳ τῶν ὑμετέρων ὅπλων,
„ Ἄνευ τῆς θείας βουλῆς εὐμενοῦς τ' αἴσης;
„ Ἄφες μ' ἰέναι· θέλημα γὰρ ἔστ' ἄνω,
„ Ὅπως τραχεῖαν τήνδ' ὁδόν τινι δείξω."—
Οὕτω τότ' αὐτοῦ τὸ θράσος κατεβλήθη,
Ὥστ' ἀφῆκε τοῖς ποσὶ πεσεῖν τὴν ἅρπην·
Τοῖς δ' ἄλλοις εἶπε· "Μηδεὶς αὐτὸν βαλέτω."
Πρὸς ἐμὲ δ' ὁ Προστάτης· "Ὦ σὺ νῦν, ὅστις
„ Ἐν μυχοῖς τῆς γεφύρας κάθησαι πτήσσων,
„ Ἐπάνελθε πρός μ' ἀσφαλῶς ἄνευ φόβου."
Τότε κινηθεὶς πρὸς αὐτὸν ἦλθον τάχος·
Οἱ δαίμονες δ' ὥρμησαν κατ' ἐμοῦ πάντες,

῞Ωστ' ἐφοβήθην, μὴ πιστὰ παραβῶσιν.
Οὕτως εἶδον τρέμοντας τοὺς ὑποσπόνδως
'Εξελθόντας ποτ' ἤδη φρουροὺς Καπρώνης,
῞Οτ' ἔβλεπον ἑαυτοὺς ἐν ἐχθρῶν μέσῳ.
Προσεκολλήθην ὅλῳ τῷ σώματί μου
Πρὸς τὸν ἐμὸν Προστάτην, οὐ παρεκκλίνας
Τὰς ὄψεις ἐκ τῆς αὐτῶν ὑπόπτου θέας.
῎Εκλιναν ἅρπας, καὶ —"Βαλεῖν μ' αὐτὸν βούλει,"
῎Ελεγον πρὸς ἀλλήλους, "ἐπὶ τῶν νώτων;"
Κἀπεκρίνοντο· "Ναί, διακοντισθήτω."—
'Αλλ' ὁ δαίμων, ὃς μετὰ τοὐμοῦ Προστάτου
Συνδιελέχθη, στραφεὶς εὐθέως εἶπεν·
"῎Εχ' ἀτρέμας, ἀτρέμα, Σκαρμιλιόνη."
Εἶτ' εἶπεν ἡμῖν· "Διὰ γεφύρας τῆσδε
„ Προβῆναι πέραν οὐκ ἔξεστι, τῆς ἕκτης
„ 'Αψῖδος ὅλης εἰς βυθὸν συμπεσούσης.
„ 'Αλλ' εἴ γ' ἰέναι βούλεσθε πορρωτέρω,
„ 'Υπάγετ' ἄνω διὰ σπηλαίου τοῦδε·
„ 'Εγγὺς γέφυρα πρὸς ὁδόν ἐστιν ἄλλη.
„ Χθές, ὥρας πέντε μετὰ τὴν ὥραν ταύτην,

„Ἔτη χίλια πρὸς τοῖς διακοσίοις
„Ἑξηκονταὲξ παρῆλθ', ἀφ' οὗ πᾶς πόρος
„Ὧδε κέκλεισται. Τινὰς τῶν ἐμῶν πέμπω
„Ἐκεῖσ', ὅπως ἴδωσι, μή τις ψυχάζῃ.
„Ἴτε σὺν αὐτοῖς· οὐ ποιήσουσι βλάβην.
—"Πρόβα νῦν, 'Αλικῖνε καὶ Καλκαβρίνα,"
Οὗτος ἤρξατο λέγων, "καὶ σύ, Κογνάζε·
„Ὁδήγει τὴν δεκάδα, Βαρβαρικία·
„Ἐλθέτω Λιβίκοκκος καὶ Δραγιγνάζος,
„Καριάττος προώδων καὶ Γραφικάνης
„Καὶ Φαρφαρέλλος καὶ μωρὸς Ῥουβικάντης.
„Περιέλθετε τὰς βραζούσας ἀσφάλτους·
„Οὗτοι δ' ἔστωσαν σῶοι μέχρι γεφύρας
„Ἄλλης, ἐντελοῦς οὔσης ἐπὶ κευθμώνων."—
"Οἴμοι, Προστάτα! τί τόδ' ἐστιν, ὃ βλέπω;"
Εἶπον· "Ἄγωμεν ἄνευ συνόδων μόνοι·
„Τὴν ὁδὸν οἶδας· οὐ ζητῶ δι' ἔμ' ἄλλους.
„Εἰ, καθάπερ εἴωθας, πρόνους τυγχάνεις,
„Οὐχ ὁρᾷς τούτων τοὺς βρυγμοὺς τῶν ὀδόντων
„Καὶ τὰς ἀπειλὰς καὶ νεύσεις τῶν ὀμμάτων;"

Πρὸς ἐμέ δ' αὐτός· "Οὐ θέλω σε φοβεῖσθαι·
„ Ἄφες, ὅσον βούλονται, βρύχειν ὀδόντας·
„ Ποιοῦσι τοῦτο πρὸς τοὺς ἀλφαστοβράστους."
'Επ' ἀριστερὰν ἐτράπησαν τοῦ χείλους·
'Αλλ' ἕκαστος πρὶν ἔθλιψ' ἐν τοῖς ὀδοῦσι
Τὴν γλῶσσαν, ὡς σημεῖον πρὸς τὸν Δεκάρχην·
'Ο δ' ἐχρῆτο τῷ πρωκτῷ σάλπιγγος δίκην.

ΩΔΗ ΚΒ'.

Συνέχεια.—Ὁ Ναυαῤῥαῖος.—Ὁ μετὰ τῶν Δαιμόνων ἀγών.

Εἶδον ἱππεῖς ἐν τάξει πορευομένους
Καὶ μάχης ἀρχομένους, πομπῇ τ' ἰόντας,
Ἐνίοτε δὲ φυγῇ παλινδρομοῦντας·
Ἐκδρόμους εἶδον διὰ τῆς ὑμῶν χώρας,
Ἀῤῥητῖνοι, καὶ στροφὰς ἐν ἱππασίαις·
Εἶδον ἱππικοὺς καὶ γυμνικοὺς ἀγῶνας,
Ποῦ μὲν σάλπιγξι, ποῦ δὲ κωδώνων ψόφοις,
Διὰ τυμπάνων καὶ σημείων ἐκ πύργων,
Ὀργάνων τ' ἀλλοδαπῶν ἡμεδαπῶν τε·
Ἀλλ' οὔποτ' εἶδον αὐλῷ τοιῷδ' ἐκτόπῳ
Ἱππέα κινούμενον οὔτε πεζίτην,
Οὔτε πλοῖον ὑπ' ἄστρων ἢ γῆς σημείων.
Μετὰ τῶν δέκα προὐχωροῦμεν δαιμόνων·
Ὦ φρικτῆς συνοδίας! πλὴν—σὺν ἁγίοις

Ἐν ναῷ, σὺν λαιμάργοις ἐν καπηλείῳ.—
Ἐγὼ δ' ἀτενὴς πρὸς τὴν πίσσαν προσεῖχον,
Ὅπως ἂν ἴδω τἄνδον τοῦ βόθρου πάντα
Καὶ τοὺς ἐν αὐτῷ συγκατακαιομένους.
Ὡς οἱ δελφῖνες προμηνύοντες ζάλην
Ναυτιλομένοις τῇ κυρτώσει τῶν νώτων
Πρὸς τὴν ἔγκαιρον ἀσφάλειαν τοῦ πλοίου,
Οὕτως ἔσθ' ὅτε πρὸς κουφισμὸν τοῦ πάθους
Τῶν ἁμαρτωλῶν ἐδείκνυ τις τὴν ῥάχιν,
Ἐκρύπτετο δ' ἀστραπῆς τάχιον πάλιν.
Ὡς δὲ παρὰ τὸ χεῖλος ὑδάτων τάφρου
Προΐσχουσ' οἱ βάτραχοι τὸ ῥύγχος ἔξω,
Κρύπτοντες πόδας καὶ πᾶν τὸ λοιπὸν σῶμα,
Τοιάδ' ἦν πέριξ ἁμαρτωλῶν ἡ στάσις.
Ἀλλ' ἅμ' ἐλθόντος ἐγγὺς Βαρβαρικίου,
Ἐβυθίσθησαν εἰς τὴν βράζουσαν πίσσαν.
Εἶδον, ἀλλ' ἀκμὴν ἡ καρδία μου τρέμει,
Τινὰ βραδὺν μένοντα, καθὼς συμβαίνει
Βατράχοις τὸν μὲν ἵστασθαι, τὸν δὲ φεύγειν.
Γραφικάτης δὲ παρευρεθεὶς πλησίον

'Εξήρπασ' αὐτὸν τῆς πισσαλοιφοῦς κόμης,
'Ανύψωσέ τε, καθάπερ ἐνυδρίδα.
Ἤδειν τοὔνομα τῶν δαιμόνων ἑκάστου,
'Επεὶ τῆς αὐτῶν ἐκλογῆς μνείαν εἶχον,
Προσεῖχόν τ' αὐτοῖς ἀλλήλους προσφωνοῦσιν·
—"Ὦ 'Ρουβικάντα, τῇ σῇ βάλλ' αὐτὸν ἅρπῃ
„ 'Επὶ τῶν νώτων, ἐκδερμάτισον τοῦτον," —
Ἔκραζον σύναμ' οἱ κατάρατοι πάντες.
Κἀγώ· "Προστάτα, σπεῦσον, εἰ δυνατόν σοι,
„ Μαθεῖν, τίς ποτ' ἂν ὁ τάλας οὗτος εἴη
„ 'Ο ταῖς χερσὶν ἐμπεσὼν ἐχθρῶν τοιούτων."
Οὑμὸς δ' 'Ηγητωρ ἐγγὺς αὐτοῦ προσῆλθεν
'Ερωτήσας, πόθεν ἦν· ὁ δ' ἀπεκρίθη·
" 'Εν βασιλείῳ Ναυάῤῥας ἐγεννήθην·
„ Εἰς κύριον μ' ἔθηκεν ἡ μήτηρ δοῦλον,
„ Τεκοῦσά μ' ἐξ εὐτελοῦς τινος ἀνθρώπου,
„ 'Ολετῆρος ἑαυτοῦ κοὐσίας πάσης.
„ Εἶτ' ἄνακτι Τυπάλδῳ συνήθης ἤμην,
„ Κἀκεῖ κλωπείας ἠρξάμην μηχανᾶσθαι,
„ Ὧν δίδωμι νῦν ἐν πυρὶ τῷδε δίκην."

Καὶ Καριάτος ἐκ στόματος προβάλλων
Ἑκατέρωθεν, ὡς σῦς, ὀξὺν ὀδόντα,
Ὅσον ἦν εἷς ἐξ αὐτῶν τομὸς ἐδείκνυ.
Ἐν μέσῳ κακῶν αἰλούρων ὁ μῦς ἦλθεν·
Ἀλλ' ἔλαβ' ἀγκὰς αὐτὸν Βαρβαρικίας,
Εἶπέ τε· "Στῆτε, διαπερῶ 'γὼ τοῦτον."
Εἶτα δὲ στραφεὶς πρὸς τὸν ἐμὸν Προστάτην
Εἶπεν· "Ἐρώτα πάλιν, εἰ πλέον θέλεις
„ Μαθεῖν παρ' αὐτοῦ, πρὶν ὄληται πανώλης."
Ὁ δ' Ἡγήτωρ· "Λέγε νῦν· ἐνόχων ἄλλων
„ Γινώσκεις τίν' ἆρά γε Λατῖνον ὄντα
„ Ὑπὸ τὴν πίσσαν;" Ὁ δέ· "Διεχωρίσθην
„ Πρὸ μικροῦ τινος, ὃς ἦν γείτονος χώρας·
„ Εἴθ' ἔτ' ἤμην σὺν αὐτῷ κεκαλυμμένος·
„ Οὐ γὰρ ἅρπας κώνυχας νῦν ἐδεδοίκειν."
Καὶ Λιβίκοκκος· "Ἀνοχῆς ἡμῖν ἅλις,"
Εἶπε, καὶ λαβὼν τοῦ βραχίονος, ἅρπῃ,
Αὐτὸν σπαράττων, τμῆμα σαρκὸς ἐξεῖλε·
Βάλλειν δ' αὐτὸν ἤθελε καὶ Δραγιγνάζος
Κάτω τῶν σκελῶν· ἀλλ' ὁ δέκαρχος τότε

Κύκλῳ περιέστρεψε φοβερὸν βλέμμα.
Τότε δὲ μικρὸν αὐτῶν εἰρηνευσάντων,
Τὸν ἔνοχον, ὃς τὴν πληγὴν ἔθ' ἑώρα,
Ἠρώτησ' οὑμὸς Ἡγήτωρ ἀμελλήτως·
" Τίς ἦν ἐκεῖνος, οὗτινος ἐχωρίσθης,
„ Ὡς λέγεις, κακῶς, ἐξοκείλας ἐνθάδε ;"
Ὁ δ' ἀπεκρίθη· " Κεῖνος ἦν Φρα-Γομίτας
„ Ὁ τῆς Γαλούρας, σκεῦος ἁπάντων δόλων.
„ Ἐν χερσὶν εἶχεν ἐχθροὺς ἑοῦ κυρίου·
„ Τοιόσδ' ἦν αὐτοῖς, ὥστ' ἀρέσκειν ἑκάστῳ·
„ Χρήματα λαβὼν ἀφῆκ' αὐτοὺς ἀνέτως,
„ Ὡς αὐτὸς λέγει· κἀν λειτουργίαις ἄλλαις
„ Ἦν οὐχὶ μικρός, ἀλλ' ἔξοχος φηλήτης.
„ Σύνεστιν αὐτῷ Κυρὸς Μιχαὴλ Ζάγκης
„ Ὁ Λογοδώρου, καὶ περὶ Σαρδοῦς νήσου
„ Ἀναπαύδητοι λαλοῦσ' αὐτῶν αἱ γλῶσσαι.
„ Φεῦ ! βλέπετε τὸν ἄλλον πῶς ἐπιβρύχει·
„ Πλεῖον' ἂν εἶπον· ἀλλὰ φοβοῦμαι, μήπως
„ Αἴφνης ἐφορμήσας μου ξύσῃ τὴν κνύζαν."
Ὁ δ' ἀρχηγέτης στραφεὶς πρὸς Φαρφαρέλλον

Περιστροβοῦντ' ὀφθαλμοὺς πρὸς τὸ πατάξαι
Εἶπεν· "Ἄπαγ' ἐκεῖθεν, κακόφρον ὄρνι."
—" Εἰ δὴ νῦν βούλεσθ' ὑμεῖς ἰδεῖν κάκοῦσαι,"
Ὁ καταπλὴξ ἔνοχος ἤρξατο πάλιν,
" Τούσκους ἢ Λογγοβάρδους ἐγὼ καλέσω·
„ Ἀλλὰ στήτωσαν οἱ Κακώνυχες ἄπο,
„ Ἵνα μὴ τούτων ἐκδίκησιν φοβῶνται.
„ Ἐγὼ δέ, καίπερ ἑστὼς ἐν τόπῳ τῷδε,
„ Ἀνθ' ἑνὸς ἐμοῦ γ' ὄντος ἑπτὰ προσοίσω,
„ Ἅμα συρίξας, ὥς ἐστιν ἡμῖν ἔθος
„ Πράττειν, ὅταν τις ἡμῶν ἐκτὸς προβαίνῃ."—
Κογνάζος τότε μυκτῆρ' ἄρας καὶ σείων
Κεφαλὴν εἶπεν· "Ἄκουσον πονηρίαν,
„ Ἣν ἐπενόησ', ἵν' ὑποδύῃ κάτω."
Ἀλλ' ἐκεῖνος, ὅστις ἦν πολὺς ἐν τέχναις,
Ἀπεκρίθη· " Πονηρὸς εἴμ' ἐγὼ πάνυ,
„ Ὅτ' ἐπάγω τοῖς ἐμοῖς μεγίστας λύπας."
Οὐ μὴν κατέσχεν ἑαυτὸν Ἀλικῖνος,
Ἄλλοις τ' ἀντιστὰς εἶπεν· "Ἢν ὑποδύῃς,
„ Οὐ διώξω σ' ὄπισθεν ἀπὸ ῥυτῆρος,

„Ἀλλὰ σείσω πτέρυγας ἐπὶ τῆς πίσσης.
„Λόφον ἀφέντες ἄγωμεν πρὸς τὴν ὄχθην,
„Ἵν' ἴδῃς, εἰ σὺ μόνος ἡμῶν ἰσχύεις."
Σὺ δ' ἀναγνῶστα, νέον ἀγῶν' ἀκούσεις.
Ἑκατέρωθεν ὄμματ' ἔστρεψαν πάντες,
Πρῶτος δ' ὁ φανεὶς μᾶλλον ἰσχυρογνώμων.
Καιροῦ δὲ λαβόμενος ὁ Ναυαῤῥαῖος
Ἤρεισ' ἐπὶ γῆς πόδας, κἀναπηδήσας
Σκιρτηδὸν αὐτῶν τὰς προσβολὰς διέδρα.
Αἴφνης ἕκαστος πρὸς τοῦτο κατεπλάγη,
Ὁ δ' ὑπαίτιος ἔτι μᾶλλον τῶν ἄλλων·
Ἐφ' ᾧ κινηθεὶς ἔκραξεν· "Ἔχομαι σου."
Πλὴν μάτην· οὐ γὰρ αἱ πτέρυγες τὸν φόβον
Ὑπερέβησαν. Ὁ μὲν ὑπέδυ κάτω,
Ὁ δ' ἱπτάμενος ἠνώρθωσε τὸ στῆθος.
Οὐκ ἄλλως ἀναπηδῶσ' ἡ νῆσσα, κέρκου
Ἐγγὺς φανέντος, ἑαυτὴν ἐμβυθίζει·
Ὁ δ' ἵπτατ' ἄνω κατηφής, πλήρης τ' αἴσχους.
Ὀργισθεὶς Καλκαβρίνας ἐπὶ τῇ πράξει,
Πτὰς ὄπισθεν ὥρμησεν ἐπ' αὐτὸν χαίρων,

Τῆς κείνου φυγῆς οὔσης αἰτίας νείκους.
Ὡς οὖν ἐγένετ' ἀφανὴς ὁ φηλήτης,
Ἔτρεψ' ὄνυχας κατὰ τοῦ συνεταίρου,
Κἀπὶ τοῦ βόθρου μετ' αὐτοῦ συνεπλάκη.
Ὁ δ' ἕτερος ὢν ἀλκίμαχος ἱέραξ
Ἥρπαξ' αὐτὸν ὄνυξίν· ὥστ' ἐν τῷ μέσῳ
Ἔπεσον ἄμφω τῆς καχλαζούσης πίσσης·
Ἡ καῦσις δ' αὐτοὺς διεχώρισ' εὐθέως·
Ἀλλ' οὐκ εἶχον πῶς ἑαυτοὺς ἀνορθῶσαι,
Ὡς ἔχοντες τὰ πτερὰ πεπισσωμένα.
Βαρβαρικίας σὺν τοῖς ἄλλοις οἰκτείρων,
Τέσσαρας εἰς τὴν πέραν ἔπεμψεν ὄχθην
Μετὰ δικράνων πάντων, καὶ ταχὺ μάλα
Ἔνθεν κἀκεῖθεν ἀπῆλθον εἰς τὸν τόπον,
Ἅρπας τ' ἔτεινον πρὸς τοὺς πισσηλιμμένους,
Ἐντὸς τῆς πλακὸς ἑψητοὺς ὄντας ἤδη·
Κατελίπομεν δ' αὐτοὺς ἐμπλέκτους οὕτω.

ΩΔΗ ΚΓ'.

Οἱ ὑποκριταί.—Οἱ κεχρυσωμένοι μανδύαι.—
Καταλάνος καὶ Λοδρίγκος.—
Ἄννας καὶ Καϊάφας.

Σιγηλοί, μόνοι καὶ χωρὶς συνοδίας
Ἐπορευόμεθ', εἷς πρόσθεν, εἷς ὀπίσω,
Ὡς βαδίζουσ' ἐν ὁδοῖς Φρᾶτρες Μινῶρες.
Ἐπὶ τὸν μῦθον ἀνήγαγον Αἰσώπου
Τὴν διάνοιαν ἐν τῇ παρούσῃ πάλῃ,
Ἔνθα περὶ βατράχου καὶ μυὸς λόγος.
Ἤ δ η γὰρ καὶ Ν ῦ ν οὐ μᾶλλον ὁμοιοῦνται
Τῶν δύο παλῶν, ἐάν περ ἀκριβῶς τις
Ἀρχὴν καὶ τέλος τῷ νῷ συμπαραλάβῃ.
Ὡς δ' ἐκ λογισμοῦ λογισμὸς ἀναβρύει,
Οὕτως ἐγεννήθη τις ἄλλος ἐκ τούτου,
Ὅστις τὸν πρῶτον ἐπηύξησέ μοι φόβον.
Οὕτω πως ἐσκεπτόμην· " Δι' ἡμᾶς οὗτοι
" Ἐνεπαίχθησαν μετ' αἰσχύνης καὶ βλάβης

„ Τοιαύτης, ὥστ' ἄχθεσθαι πάνυ νομίζω.
„ Τῆς δ' ὀργῆς προστεθείσης τῇ δυσμενείᾳ,
„ Ὁρμήσουσι πρὸς ἡμᾶς ἀγριωτέρως
„ Ἣ κύων ὁρμᾷ λαγὼν ἐπιδιώκων."
Ἤδη τὰς τρίχας ᾐσθόμην ὀρθουμένας
Ὑπὸ τοῦ φόβου, καὶ θεωρῶν ὀπίσω,
"Ἢν μὴ σεαυτόν," εἶπον, "κἀμέ, Προστάτα,
„ Κρύψῃς ταχέως, ἐμβάλλουσί μοι τρόμον
„ Οἱ Κακώνυχες· νῦν εἰσι παρὰ πόδας·
„ Πέπεισμαι δ' οὕτως, ὥστ' αὐτοὺς δοκῶ βλέπειν."
Ὁ δ' εἶπεν· "Εἰ κάτοπτρον ἤμην ὑέλου,
„ Οὐκ ἂν τάχιον τὴν σὴν ἐκτὸς εἰκόνα
„ Ἀντανέκλων, ἣ τὴν ἔνδον σου νῦν βλέπω.
„ Ἤδη ταῖς ἐμαῖς αἱ σαὶ συνῆλθον σκέψεις
„ Τὸν αὐτὸν τρόπον, ὑπὸ μορφὴν ὁμοίαν,
„ Ὥστ' ἀμφοῖν μίαν βουλὴν ἐποιησάμην.
„ Ἢν ἡ δεξιὰ πλευρὰ προσφόρως κλίνῃ
„ Πρὸς κατάβασιν εἰς τὸν ἕτερον βόθρον,
„ Φευξούμεθα δίωξιν, ἣν ὑποπτεύεις."

Οὐκ ἔφθη γνώμην φράσας τοιάνδ', ὅτ' εἶδον
Αὐτοὺς ἥκοντας πτέρυξι τεταμέναις,
Οὐ μακρὰν ἡμῶν, κατασχεῖν βουλομένους.
Οὑμὸς δ' Ἡγήτωρ εὐθὺς ἐλάβετό μου,
Οἷά τις μήτηρ ἐγερθεῖσ' ἐκ θορύβου,
Κἀγγὺς αὑτῆς βλέπουσα φλόγας ἡμμένας,
Τοῦ παιδὸς δραξαμένη φεύγει κοὐ μένει,
Ἧττον φροντίζουσ' ἑαυτῆς ἢ τοῦ τέκνου,
Οὕτως, ὥσθ' ἕνα μόνον φορεῖν χιτῶνα.
Ἐκ δὲ τῆς ἄκρας τῆς σκληρᾶς ὄχθης κάτω
Παρὰ τὸν κρημνὸν ὠλίσθησεν ὑπτίως,
Τὸν ἐντεῦθεν φράττοντα τὸν ἄλλον βόθρον.
Οὐ δι' ὀχετοῦ ῥέει ταχέως ὕδωρ
Στρέφον τὸν τροχὸν μυλῶνος ἐπιγείου,
Ὅτε κύκλωθεν τῶν πτερῶν ἐπιπίπτει,
Ὡς εἷρπ' ἐπὶ τὸν κρημνὸν οὑμὸς Προστάτης,
Περιπλέγδην με φέρων ἐπὶ τοῦ στήθους,
Ὡς υἱόν, κοὐχὶ συνοπαδὸν ἑταῖρον.
Μόλις δ' οἱ πόδες ἔψαυσαν τῆς γῆς κάτω,
Και τοὺς δαίμονας εἶδον ἐπὶ τῆς ἄκρας

Ἄνωθεν ἡμῶν· ἀλλ᾽ οὐκέτ᾽ ἐφοβούμην.
Ἡ γὰρ θεία πρόνοια φύλακας τούτους
Εἶναι διατάξασα τοῦ πέμπτου βόθρου,
Ἀπηγόρευσεν ἐκεῖθεν ἀποστῆναι.
Ἐκεῖ κάτω δ᾽ εὕρομεν ψυχὰς εὐχρόους,
Βαδιζούσας βραδέως πέριξ τοῦ βόθρου,
Θρηνούσας, φλαύρας, τετρυμένας τὴν θέαν.
Ἔφερον δὲ μανδύας σὺν κατωτίσιν
Ὀφθαλμοὺς καλυπτούσαις, κατὰ τὸν τρόπον
Τῆς στολῆς τῶν μοναχῶν τῆς Κολωνίας,
Ἐκτὸς μὲν χρυσοῦς, περιλαμπεῖς, ἀλλ᾽ ἔνδον
Ἐκ μολύβδου, καὶ βαρεῖς τοσοῦτον, ὥστε
Οἱ Φρεδερίκου πρὸς αὐτοὺς ἦσαν ἄχναι.
Ὦ χλαίνης αἰωνίως συγκαταθλώσης!
Ἡμεῖς δ᾽ ἐπ᾽ ἀριστερὰ στραφέντες πάλιν
Μετ᾽ αὐτῶν, προσείχομεν τοῖς πικροῖς θρήνοις.
Ἀλλ᾽ ἐκ τοῦ βάρους αἱ ψυχαὶ κεκμηκυῖαι
Οὕτως ἐβραδυπόρουν, ὥστ᾽ ἀπηντῶμεν
Νέαις συμβαδιζούσαις κατὰ πᾶν βῆμα.
Τῷ ᾽μῷ δ᾽ εἶπον Προστάτῃ· “Μεταξὺ τούτων

,, Τοὔνομ' ἔστι τις γνώριμος ἢ τὰς πράξεις;
,, Κύκλῳ στρέψον ὀφθαλμούς· τάχ' ἂν τιν' εὕροις."
Εἷς δ' ἐξ αὐτῶν 'Ετρούσκων φωνὴν ἀκούσας
Ὄπισθ' ἡμῶν ἔκραξεν· "Ἴσχετε πόδας
,, Ὑμεῖς, οἳ δι' ὀρφνώδους τρέχετ' ἀέρος.
,, Ἴσως ἄν, ὃ σὺ ζητεῖς, παρ' ἐμοῦ μάθοις."
Οὑμὸς δ' Ἡγήτωρ στραφεὶς εἶπέ μοι· "Μένε,
,, Προχώρει δ' εἶτα κατὰ τὸ βῆμα τούτου."
Στὰς δ' εἶδον δύο πολὺν δεικνύντας πόθον
Συντυχεῖν ἡμῖν, ὡς ἐκ τῆς αὐτῶν θέας,
'Αλλ' οὓς ἐβράδυν' ἄχθος καὶ στενὴ τρίβος.
'Εγγὺς δ' ἐλθόντες διὰ λοξῶν ὀμμάτων
Ἔβλεπον πρός με, οὐ προφέροντες λέξιν.
Εἶτα στραφέντες ἔλεγον πρὸς ἀλλήλους·
"Οὗτος δοκεῖ ζῶν τῇ κινήσει τοῦ βρόγχου·
,, Εἰ δ' εἰσὶ νεκροί, ποίῳ δὴ προνομίῳ
,, Βαδίζουσ' ἄνευ στολῆς βαρείας τῆσδε;"
'Εμοὶ δ' εἶτ' εἶπον· "Ὁ τὸν σύλλογον, Τοῦσκε,
,, Ὧδ' ἐπισκοπῶν ὑποκριτῶν ἀθλίων,

„ Εἰπεῖν ἡμῖν, τίς ποτ' εἶ, μὴ δὴ παρίδῃς."
Κἀγὼ πρὸς αὐτούς· " Ἐγεννήθην καὶ 'τράφην
„ Παρὰ ποταμὸν Ἄρνον κλεινῇ τ' ἐν πόλει·
„ Φέρω δ' ὅπερ ἀπ' ἀρχῆς ἐφόρουν σῶμα.
„ Ἀλλ' ὑμεῖς ἐστὲ τίνες, ἐξ ὧν σταλάζει
„ Τῶν παρειῶν, ὡς βλέπω, τοσαύτη λύπη;
„ Ποινὴ δ' ὑμῖν τίς ἐκ τῆς λαμπροφορίας;
Ἀπεκρίθη δ' εἷς αὐτῶν· " Αἱ χρυσαῖ χλαῖναι
„ Ἐντός εἰσ' ἐκ μολύβδου, βάρους δὲ τόσου,
„ Ὥσθ' οὕτω τὰς πλάστιγγας τρίζειν ποιοῦσι.
„ Φρᾶτρες Γαυδέντες ἦμεν ἐκ Βονωνίας·
„ Καταλάνος μὲν ἐγώ, Λοδρίγκος δ' οὗτος
„ Ἐκαλούμεθ', οὓς ἐξέλεξ' ἡ σὴ πόλις
„ Σύναμ' ἀνθ' ἑνός, ὡς ἔθος, ἀνδρὸς μόνου
„ Εἰρηναρχεῖν ἐν αὐτῇ. Τοιοῦτοι δ' ἦμεν,
„ Ὡς ἔστιν ἰδεῖν ἔτι πέριξ Γαρδίγκου."
Ἐγὼ δ' ἔκραξα· " Φρᾶτρες, ὑμῶν τὰ πάθη. . . "
Ἀλλ' οὐδὲν εἶπον πλέον· αἴφνης γὰρ εἶδον
Χαμαί τιν' ἥλοις τρισὶν ἐσταυρωμένον.
Ἰδών με δ' οὗτος, ὅλος διελυγίσθη

'Εν τῷ πώγωνι πνευστιῶν καὶ στενάζων.
῾Ο δὲ Φρα—Καταλάνος νοήσας τοῦτο
Εἶπεν· "῾Ο καθηλωτὸς οὗτος, ὃν βλέπεις,
„ 'Εστὶν ὁ συμβουλεύσας τοῖς Φαρισαίοις
„ ῾Υπὲρ τοῦ λαοῦ συμφέρειν θανεῖν ἕνα.
„ Διὰ μέσης τῆς ὁδοῦ πάγγυμνος κεῖται,
„ Καθάπερ ὁρᾷς· αἰσθάνεσθαι δ' ὀφείλει
„ Πόσον βαρύνει πᾶς ἐπ' αὐτὸν βαδίζων.
„ Τὴν αὐτὴν ὁ πενθερὸς ποινὴν ἐκτίνει
„ 'Εν βόθρῳ τῷδε, κἆλλοι τοῦ συμβουλίου,
„ Οἳ κακὴ σπορὰ τοῖς ῾Εβραίοις ὑπῆρξαν."
Τὸν Βιργίλιον τότε θαυμάζοντ' εἶδον
'Επὶ τῷ τεταμένῳ σταυρηδὸν οὕτω
Δι' αἰωνίας αἰσχίστως ἐξορίας.
Εἶτα τῷ Φρατρὶ τούσδ' ἀπηύθυνε λόγους·
" Δέομαί σου νῦν εἰπεῖν ἡμῖν, εἰ θέμις·
„ Ἔστιν ἐπὶ δεξιᾷ διέξοδός τις,
„ ῾Οπόθεν δυναίμεθ' ἂν ἐξελθεῖν ἄμφω,
„ Οὐ βιάζοντες τοὺς μέλανας ἀγγέλους,
„ Ἵν' ἔλθωσ' ἡμᾶς τοῦδ' ἀπάξοντες βόθρου ;"

῾Ο δ' ἀπεκρίθη· "Πλέον ἤπερ ἐλπίζεις
"᾿Εγγύς ἐστι σπιλάς τις ἐκ τοῦ μεγάλου
„ Τείχους διερχομένη κοιλάδας πάσας·
„ ᾿Αλλ' ὧδε κατεῤῥάγη κοὐδαμόσ' ἄγει.
„ Διὰ τοῦ ῥηγμοῦ δύνασθ' ἀνελθεῖν ἄνω,
„ ῝Ος τῇδε κλίνων, ἐκεῖθεν ἀνυψοῦται."
Οὑμὸς δ' ῾Ηγήτωρ ἔστη μικρόν τι κύψας,
Εἶτ' εἶπε· "Κακῶς διηγεῖτο τὸ πρᾶγμα
„ ῾Ο πέραν τοὺς ἐνόχους κάμαξι πλήττων."
῾Ο δὲ Φράτηρ· "῏Ηκουσ' ὢν ἐν Βονωνίᾳ
„ Τοῦ Διαβόλου τὰς πολλὰς πονηρίας,
„ Πρὸς δ' ὅτι ψεύστης ἐστὶ καὶ πατὴρ ψεύδους."
Τότε δ' ῾Ηγήτωρ οὑμὸς ἀπῆλθ' ὠκέως,
Παρωργισμένος μικρὸν δοκῶν τὴν ὄψιν·
᾿Εγὼ δὲ κατέλιπον τοὺς ἀχθενδύτας,
῾Επόμενος ἴχνεσι ποδῶν φιλτάτων.

ΩΔΗ ΚΔ'.

Οἱ κλέπται.—Οἱ ὄφεις.—Ἡ δι' ἐκτεφρώσεως βάσανος.

Καθ' ἣν ἐποχὴν τοῦ νεάζοντος ἔτους
Ἥλιος κόμην ἐν Ὑδροχόῳ λούει,
Ἡ δὲ νὺξ ῥέπει πρὸς τὴν ἰσημερίαν,
Ἡ πάχνη δ' ἐπὶ τῆς γῆς ἀπομιμεῖται
Τῆς λευκῆς αὐτῆς ἀδελφῆς τὴν εἰκόνα,
Μικρὸν τὴν αὐτὴν χροιὰν διατηροῦσα,
Ὁ χωρίτης, ᾧ τὰ πρὸς χρείαν ἐλλείπει,
Ἐγειρόμενος ἀτενίζει καὶ βλέπει
Τὴν πεδιάδα λευκήν, καὶ μηροὺς πλήττει·
Ἐπανακάμψας δ' οἴκαδε σχετλιάζει,
Ὡς δυστυχής τις οὐκ ἔχων τί ποιήσει·
Εἶτ' ἀνακύψας ἐλπίδ' ἀναλαμβάνει,
Βλέπων τὸν κόσμον ὄψιν μεταβαλόντα
Ἐν βραχεῖ χρόνῳ, καὶ τὴν ποιμνικὴν ῥάβδον

Λαβὼν ἐκβαίνει πρὸς νομὴν τῶν προβάτων·
Οὕτω με κατέπληξεν οὑμὸς Προστάτης
Τὴν ὄψιν ἰδόντ' αὐτοῦ τεταραγμένην·
Οὕτω τε τάχος ἐπῆλθ' ἡ θεραπεία.
Ὡς γὰρ εἰς τὸ ῥῆγμ' ἤλθομεν τῆς γεφύρας,
Ἡγήτωρ πρός μ' ἔτρεψε τὸ γλυκὺ βλέμμα,
Ὃ πρῶτον εἶδον παρὰ πόδας τοῦ λόφου.
Τὰς ἀγκάλας ἤνοιξε μετὰ βραχεῖαν
Καθ' αὑτὸν σκέψιν, προσεπιβλέπων πρῶτον
Καλῶς τὸν κρημνόν· εἶτα δ' ἐλάβετό μου.
Ὡς δ' ὅτ' ἐν ταὐτῷ σκέπτεταί τις καὶ πράττει,
Κᾀεὶ προνοεῖ τῶν μελλόντων ἐγκαίρως,
Οὕτως ὑψώσας ἄνω με πρὸς τὴν ἄκραν
Πέτρας, ἐξελέξατο δι' αὐτὸν ἄλλην
Λέγων· "Ἀντέχου σθεναρῶς πέτρας τῆσδε·
„Ἀλλ' ὅρα πρῶτον, εἰ δύναταί σε φέρειν."
Οὐκ ἦν ὁδὸς πρόσφορος μανδυοφόροις·
Μόλις γὰρ αὐτὸς κοῦφος κἀγὼ στηρίξει
Ἠδυνάμεθα βαθμηδὸν ἀναβῆναι.
Εἰ μὴ δ' ἦν ἐκ τοὐντεῦθεν κρημνώδους μέρους

Ἡ κλιτὺς ἢ θἀτέρου συντομωτέρα,
Οὐκ οἶδ᾽, εἰ κεῖνος, ἀλλ᾽ ἔγωγ᾽ ἠδυνάτουν.
᾽Αλλ᾽ ὡς τὸ Κακόβοθρον ἐπὶ τὸ στόμα
Τοῦ κατωτάτου φρέατος ὅλον κλίνει,
Ἡ θέσις ποιεῖ φάραγγος ἑκατέρας
Τὴν μὲν τῶν πλευρῶν ὑψοῦσθαι, τὴν δὲ νεύειν.
Ἡμεῖς τέλος ἤλθομεν ἐπὶ τῆς ἄκρας,
Ὅθεν ἡ τελευταία προκύπτει πέτρα.
Οὕτω δ᾽ ἡ πνοή μ᾽ ἔλειψε τῶν πνευμόνων,
Ὥστ᾽ ἀναβὰς οὐκ εἶχον ἰέναι πρόσω·
Καὶ δὴ παρευθὺς ἀνελθὼν ἐκαθέσθην.
“Δέον σε λοιπὸν ἀποθέσθαι νωθρείαν·
„ Εὕδων τις,” εἶπεν ὁ Προστάτης, “ἐν πτίλοις
„ ᾽Εν χλανῖσί τε λαμπραῖς οὐ κτᾶται φήμην,
„ Ἧς ἄνευ καταλύει τὸν βίον, ἴχνος
„ Καταλείπων ἐπὶ γῆς, οἷον πομφόλυξ
„ ᾽Εν τοῖς ὕδασι καὶ καπνὸς ἐν ἀέρι.
„ ᾽Ανάστα τοίνυν, καὶ τὴν δύσπνοιαν νίκα
„ Δι᾽ εὐψυχίας πᾶσαν μάχην νικώσης,
„ Ὅτ᾽ οὐχ ὑπείκει τῷ τοῦ σώματος βάρει.

„ Ἀναβῆναι δεῖ κλίμακα μακροτέραν·
„ Οὐκ ἀρκεῖ μόνον ἀπαλλαχθῆναι τούτων.
„ Εἴ μ' ἐνόησας, τὸ συμφέρον σοι πρᾶξον."
Ἀνέστην τότε, μεῖζον' ἐπιδεικνύων
Ἐν ἐμοὶ πνοὴν ἢ πραγματικῶς εἶχον,
Εἶπον τ'· "Ἄγε δή, ῥώμην ἔχω καὶ θάῤῥος."
Ἐπὶ τὸν κρημνὸν τότ' ἠρξάμεθ' ὁδεύειν,
Ὃς ἦν δύσβατος καὶ στενὸς καὶ πετρώδης,
Καὶ πολλῷ μᾶλλον ἀποῤῥὼξ τοῦ προτέρου.
Ἐβάδιζον ὁμιλῶν, οὐ δοκῶν ἔκπνους,
Ὅτ' ἐξῆλθ' αἴφνης φωνὴ τῆς ἄλλης τάφρου,
Ἐξ ἧς οὐκ ἦν συλλαβεῖν ἐνάρθρους λέξεις.
Τί ποτ' ἔλεγεν οὐκ οἶδα, καίπερ ἄνω
Ὢν τῆς γεφύρας τῆς ἐκεῖ περαιούσης·
Ἀλλ' ὑπ' ὀργῆς ὁ φωνῶν κινεῖσθ' ἐδόκει.
Ὄψεις ἔστρεψα κάτω, πλὴν ὄμμα ζῶντος
Οὐ διορᾷ τὸν βυθὸν ὑπὸ τοῦ σκότους.
"Ὦ Προστάτα," τότ' εἶπον, " ἐλθεῖν ἐπείγου
„ Ἐκεῖθεν, ὅπως καταβῶμεν τὸ τεῖχος.
„ Ὡς γὰρ ἐνταῦθα μὴ συνιὼν ἀκούω,

„ Οὕτω 'κεῖ κάτω βλέπω μὴ διακρίνων."
—"Οὐκ ἄλλην," εἶπεν, "ἀπόκρισίν σοι δώσω
„ Ἢ πράττων, ὡς φῄς· αἴτησις γὰρ τιμία
„ Ἐν σιγῇ καὶ δι' ἔργων ἐκτελεστέα."
Κατέβημεν οὖν τὴν γέφυραν ἐκεῖθεν,
Ἔνθα ζεύγνυται πρὸς τὴν ὀγδόην ὄχθην.
Τότε δ' ὁ βόθρος ἐμφανής μοι παρέστη·
Εἶδον δ' ἐν αὐτῷ συνάθροισμα φρικῶδες
Ὄφεων οὕτω τὴν μορφὴν διαφόρων,
Ὥστ' ἔτι πήγνυσ' αἷμα τοὐμὸν ἡ μνήμη.
Μηκέτ' ἐπ' ἄμμοις σαῖς ἐγκαυχῶ, Λιβύη·
Εἰ γὰρ ἀσπίδας, αἱμόῤῥους καὶ χελύδρους
Παράγεις, πρὸς δὲ κέγχρους τε κἀμφισβαίνας,
Οὔποτε λύμας τόσας καὶ δεινὰς τόσον
Ἔδειξας μετὰ πάσης Αἰθιοπίας,
Οὔτ' ἐφ' ἁπάσης τῆς Ἐρυθρᾶς θαλάσσης.
Μέσον τοῦ σκληροῦ, μυσαχθοῦς σωροῦ τούτου
Ἔντρομοι, γυμναὶ ψυχαὶ τρέχουσιν ἄνευ
Ἐλπίδος φυγῆς οὐδ' ἡλιοτροπίου.
Ὄφεσιν ὄπισθ' εἶχον δετὰς τὰς χεῖρας

Κεφαλὴν κουρὰν τοῖς νεφροῖς ἐμπηγνῦσιν,
Ἐπίπροσθεν δὲ συμπεριπεπλεγμένοις.
Ἰδοὺ δ᾽ ἐπί τιν᾽, ὃς ἦν ἡμῶν πλησίον,
Ὥρμησεν ὄφις, αὐτὸν διατετρήνας,
Ἔνθ᾽ ὁ τράχηλος πρὸς τοὺς ὤμους ἑνοῦται.
Οὔτ᾽ Ὂ οὔτ᾽ Ἶ τις οὕτω τάχος ἂν γράψαι,
Ὡς αὐτὸς ἥφθη, κατεφλέχθη καὶ τέφρα
Χαμᾶζε καταπεσὼν ὅλος κατέστη.
Ἐπεὶ δ᾽ ἐπὶ γῆς οὕτως ἐξηφανίσθη,
Ἀφ᾽ ἑαυτῆς ἡ τέφρα συνεφειλκύσθη,
Αἴφνης τ᾽ ἐπανῆλθ᾽ εἰς τὸ πρότερον σχῆμα.
Οὕτως ὁμολογοῦσι σοφοὶ μεγάλοι
Τὸν φοίνικ᾽ ἀποθνήσκειν κἀναζῆν αὖθις,
Τὸ πεντακοσιοστὸν πληρώσαντ᾽ ἔτος.
Ἕως ζῇ χόρτον καὶ κόκκους οὐκ ἐσθίει,
Ἀλλὰ δάκρυα λιβάνου τε κἀμώμου,
Σπάργαν᾽ ὕστατα νάρδον ἔχων καὶ σμύρναν.
Οἷος δ᾽ ὁ πεσών, ἀλλὰ πῶς, οὐ γινώσκων,
Εἴτ᾽ αἰτίᾳ δαίμονος εἰς γῆν ὠθοῦντος,
Εἴτ᾽ ἐκ πνιγμονῆς τοὺς ἀνθρώπους ναρκούσης,

’Εγειρόμενος ἑαυτοῦ πέριξ βλέπει,
Ὅλος τεταραγμένος ἐξ ἧς ὑπέστη
Μεγάλης ἀγωνίας, καὶ βλέπων στένει,
Τοιοῦτος ἦν ὁ πάσχων ἀναστὰς πάλιν.
Ὡς εἶς αὐστηρά, Θεία Δικαιοσύνη,
Τοιαύταις πληγαῖς τοὺς κακοὺς ἐκδικοῦσα!
Εἶτ’ αὐτόν, τίς ἔστ’, ἠρώτησ’ ὁ Προστάτης·
Ὁ δ’ ἀπεκρίθη· “ Προσφάτως ἐκ Τουσκίας
„ Εἰς τόνδ’ ἔπεσον τὸν θηριώδη βρόγχον·
„ Κτήνους, οὐκ ἀνθρώπινον, βίον εἱλόμην,
„ Ἡμίονος ὤν· εἰμὶ δὲ Βάννης Φούκκης,
„ Ὁ θήρ· Πιστωρία δ’ ἦν κευθμών μοι πρέπων.”
Κἀγὼ Προστάτῃ· “ Λέγ’ αὐτῷ μὴ κινεῖσθαι·
„ Πυνθάνου δέ, τί πταῖσμ’ ἔῤῥιψ’ ἐν τόπῳ τῷδε·
„ Φίλαιμον καὶ φίλεριν αὐτὸν γὰρ ᾔδειν.”
’Ακούσας μου δ’ ὁ πάσχων οὐχ ὑπεστάλη,
’Αλλ’ ἔτρεψε πρὸς ἐμὲ νοῦν τε καὶ βλέμμα,
Ὑπὸ λυπηρᾶς καταληφθεὶς αἰσχύνης.
Εἶτ’ εἶπε· “ Μᾶλλον λυποῦμαι ἀπαντηθείς σοι
„ ’Εν ᾗ με βλέπεις ἐνταῦθα δυστυχίᾳ,

„Ἥπερ ὅτ' ἐκ τῆς ἄλλης ζωῆς ἡρπάσθην.
„Οὐκ ἔχω σοι, πῶς ὃ ζητεῖς ἀρνηθῆναι.
„Ἐβλήθην τόσον κάτω, κλέπτης ὑπάρξας
„Τῶν ἐν τῷ ναῷ πανσέπτων κοσμημάτων,
„Ἀντ' ἐμοῦ ψευδῶς αἰτιαθέντος ἄλλου.
„Ἀλλ' ἵνα σὺ μὴ χαίρῃς ἐπὶ τῇ θέᾳ
„Τῇ δ', ἤν ποτε τῶν τόπων τούτων ἐξέλθῃς,
„Ὦτ' ἄνοιξον κἄκουσον, ἃ προαγγέλλω.
„Πιστωρία Μελάνων πρῶτον γυμνοῦται·
„Φλωρεντία δ' εἶτ' ἀστοὺς νόμους τ' ἀλλάσσει·
„Ἄρης ἀτμὸν ἐξ ἄνω κατάξει Μάκρας,
„Συμπεφυρμένον θολοέσσαις νεφέλαις·
„Ἐν θυέλλῃ δὲ σφοδρᾷ καὶ δεινῇ μάχῃ
„Ἐπὶ Πικηνοῦ γενήσεται πεδίου,
„Ὅθεν ἐξαίφνης τὴν ὀμίχλην σκεδάσει,
„Ὥστε πᾶς Λευκὸς κεραυνόβλητος ἔσται.
„Εἶπον δὲ τοῦτο· λυπήσειν γάρ σε μέλλει."

ΩΔΗ ΚΕʹ.

Συνέχεια.—Ὁ Κάκος.—Αἱ μεταμορφώσεις ἀνθρώπων καὶ ὄφεων.

Περάνας δὲ τοὺς λόγους τούτους ὁ κλέπτης
Ὕψωσ' ἄμφω τὰς χεῖρας, καὶ σκιμαλίζων
Ἔκραξε· "Λάβε, Θεέ· τάδε σοι πέμπω."
Ἀλλ' ἔκτοτε τοὺς ὄφεις φιλεῖν ἠρξάμην·
Εἷς γὰρ περὶ τὸν αὐτοῦ λαιμὸν εἰλίχθη,
Ὡς ἂν εἰ λέγων· "Πλέον λαλεῖν σ' οὐ θέλω."
Τοὺς βραχίονας συνεδέσμευσεν ἄλλος,
Προσηλούμενος ἐν τοῖς ἔμπροσθεν οὕτως,
Ὥστ' οὐχ οἷος τ' ἦν διασεῖσαι τὰ μέλη.
—Αἴ! Πιστωρία, Πιστωρία, πῶς τέφρα
Γενέσθ' οὐ σπεύδεις, καὶ μὴ πλέον ὑπάρχειν,
Ἐπεὶ σπέρμα σὸν ἐν κακίαις προβαίνει ;—
Ἐν πᾶσιν Ἅιδου τοῖς ζοφώδεσι κύκλοις
Οὐκ εἶδον οὕτω θρασὺ πρὸς Θεὸν πνεῦμα,

Οὔτε τὸν πεσόντ' ἐκ τειχῶν τῶν Θηβαίων.
Αὐτὸς δ' ἔφυγεν, οὔτ' εἶπε πλέον λέξιν.
Εἶδον δ' ἥκοντα Κένταυρον πλήρη λύσσης
Κράζοντα· "Ποῦ 'στιν ὁ κατάρατος, ποῦ 'στιν;"
Οὐκ οἴομαι Μαρέμμαν τοσούτους τρέφειν,
Ὅσους εἶχ' αὐτὸς ὄφεις ἐπὶ τῶν νώτων,
Ἔνθαπερ τἀνθρώπινον ἄρχεται σχῆμα.
Ἐπὶ τῶν ὤμων ὄπισθεν τοῦ τραχήλου,
Πτεροῖς ἀνεῳγμένοις ἵστατο δράκων,
Φλοξὶ βάλλων ἅπαντας, οἷς ἂν ἐντύχοι.
Οὑμὸς δ' εἶπε Προστάτης· "Ὅδ' ἐστὶ Κάκος,
„Ὃς ὄρους Αὐεντίνου ὑπὸ τὰς πέτρας
„Ἐπόιησ' ἐξ αἱμάτων πολλάκις λίμνην.
„Οὐ σὺν ἀδελφοῖς ὁδῷ μιᾷ βαδίζει·
„Ὑπέκλεψε γὰρ δολίῳ τινὶ τρόπῳ
„Ἧς ἔτυχ' ἐγγὺς αὐτοῦ μεγάλης ποίμνης.
„Ἀλλ' αὐτοῦ τὰ πανοῦργα κατέπαυσ' ἔργα
„Ἡρακλέους ῥόπαλον, ἐπενεγκόντος
„Ἑκατὸν πληγάς, ὧν οὐκ ᾐσθάνθη δέκα."
Ταῦτα λέγοντος, διέβη μὲν ἐκεῖνος,

Κάτωθεν δ' ἡμῶν ἦλθε πνεύματα τρία·
Ἀλλ' ἡμῶν οὐδέτερος αὐτοὺς κατεῖδε,
Πλὴν ὅτ' ἔκραξαν· "Ὑμεῖς ἐστὲ δὴ τίνες;"
Εὐθὺς δ' ἐπαυσάμεθα τῆς ὁμιλίας,
Ἐπὶ τούτους ἀτενῶς τὸν νοῦν προσχόντες.
Οὐκ ἐγνώριζον αὐτούς, ἀλλὰ συνέβη,
Ὡς συμβαίνει συχνάκις ἐκ ταὐτομάτου,
Ὅτι προσεφθέγξατο τὸν ἄλλον ἄλλος,
Λέγων· "Ποῦ ποτ' ἆρ' ἔμεινεν ὁ Κιάμφας;"
Ἐγὼ δ' ἵν' ὁ Προστάτης ἀτενὴς εἴη,
Ἐθέμην τὸν δάκτυλον ἐπὶ τὰ χείλη.
Εἰ δὲ πιστεύειν διστάζεις, ἀναγνῶστα,
Εἰς ὅσ' ἤδη λέξω σοι, τοῦτ' οὐ θαυμάζω·
Κἀγὼ γὰρ αὐτὸς ἰδὼν μόλις πιστεύω.
Ἐν ᾧ πρὸς αὐτοὺς εἱστήκειν ἀτενίζων,
Αἴφνης ὥρμησ' ἐφ' ἑνὸς ὄφις ἑξάπους,
Ἐπ' αὐτὸν περιπλεχθεὶς ὅλος ἐφ' ὅλον.
Τοῖς μέσοις ποσὶ κατέσχε τὴν γαστέρα,
Τοῖς δ' ἐμπροσθίοις συνέλαβε τὰς χεῖρας·
Εἶτ' ἔδακ' ὀδὰξ παρειῶν ἑκατέραν.

Ἐξέτειν᾽ ἐπὶ μηρῶν τοὺς ὀπισθίους,
Μέσον αὐτῶν τὴν οὐρὰν διαπεράσας,
Ἣν ἠνώρθωσεν ἐπὶ νεφροὺς ὀπίσω.
Οὔποτε κισσὸς δένδρῳ προσεκολλήθη
Οὕτως ἰσχυρῶς, ὡς τὸ φρικτὸν θηρίον
Τοῖς ἐκείνου συνέπλεξ᾽ αὐτοῦ τὰ μέλη.
Εἶτα συνετάκησαν, ὡς εἴπερ ἦσαν
Ἐκ κηροῦ θερμοῦ, συμμίξαντες τὸ χρῶμα,
Οἷος ἦν πρῶτον οὐδετέρου δοκοῦντος.
Οὕτως ἐπὶ παπύρου φλογιζομένου
Ἐπεκτείνεται χρῶμά τι φαιόν, ὅπερ
Μέλαν οὐκέτ᾽ ἔσθ᾽, ἡ δὲ λευκότης θνήσκει.
Οἱ δ᾽ ἄλλοι δύο πρὸς αὐτὸν προσεώρων
Κράζοντες· "Οἴμ᾽, Ἄγνελε, πῶς μεταλλάσσῃ!
„Ἰδοὺ γὰρ οὐχ εἷς ὑπάρχεις, οὔτε δύο."
Ἐγένοντ᾽ ἤδη δύο κεφαλαὶ μία,
Ὅτ᾽ ἐφάνησαν εἰς μίαν μορφαὶ δύο
Μιχθεῖσαι, κἀμφότεραι συγχωνευθεῖσαι.
Γίνοντ᾽ ἐκ μελῶν τεσσάρων χεῖρες δύο·
Ἐξ ὤμων, ποδῶν, κοιλίας τε καὶ στήθους

Πέφυκε μέλη μήποτε θεαθέντα·
Ἐξηφανίσθη πᾶν τἀρχέτυπον σχῆμα.
Ἡ τερατώδης δ' εἰκών, δοκοῦσα δύο
Καὶ μηδέν, τοιάδ' ἐβάδιζε βραδέως.
Ὡς δ' ὁ σαῦρος οἰστρηθεὶς ἐν κυνὸς ὥρᾳ
Ὑπὸ καύσωνος, αἱμασιὰν ἀλλάσσων,
Ἀστραπηδὸν τὴν ὁδὸν ἐκδιαβαίνει,
Οὕτω κατὰ πρόσωπον τῶν ἄλλων δύο
Ἐλθὸν ὥρμησεν ὀφείδιόν τι καῖον,
Πελιδνόν, μέλαν, ὡς πεπέρεως κόκκος.
Τὸ μέρος δ', ὅθεν δεχόμεθα τὴν πρώτην
Τροφήν, διετρύπησε θἀτέρου τούτων,
Οὗ πρὸ τῶν ποδῶν ἔπεσε τεταμένον.
Τοῦτ' εἶδεν ὁ πληγωθείς, ἀλλ' οὐδὲν εἶπε·
Στὰς δ' ἐπὶ ποδῶν στερεῶς ἐχασμᾶτο,
Ὥσπερ ὑφ' ὕπνου κατασχεθεὶς ἢ θέρμης.
Ὁ μὲν τὸν ὄφιν ἔβλεπ', ἐκεῖνον δ' οὗτος.
Τοῦ μὲν ἡ πληγή, τοῦ δ' ἑτέρου τὸ στόμα
Ἀφίη καπνὸν πυκνόν, ὃς συνηνοῦτο.
Σῖγα, Λουκανέ, μὴ λέγε τὰ συμβάντα

Τοῦ δυστυχοῦς Σαβέλλου καὶ Νασιδίου·
Ἄκουσον δ' ἅπερ εἰπεῖν ἤδη σοι μέλλω.
Σῖγ', Ὀβίδιε, τὰ Κάδμου κ' Ἀρεθούσης·
Εἰ γὰρ ποιητικεύων τὸν μὲν εἰς ὄφιν,
Τὴν δ' εἰς κρήνην ἤλλαξας, οὐδὲν φθονῶ σοι·
Δύο γὰρ φύσεις ἑτέραν εἰς ἑτέραν
Οὐ μετέβαλες, ὅπως τὰς αὐτῶν ὕλας
Ἀλλοιώσωσ' αἱ δύο μορφαὶ συγχρόνως.
Ἄμφω μετετράπησαν τοιούτοις τρόποις,
Ὁ μὲν ὄφις τὴν οὐρὰν εἰς δύο σχίσας,
Ὁ δὲ πληγωθεὶς τοὺς πόδας συνενώσας.
Τούτου δ' ἐκ ταὐτομάτου μηροὶ καὶ κνῆμαι
Ἐκολλήθησαν οὕτως, ὥστ' ἐν ὀλίγῳ
Οὐδὲν κατεφαίνετο συναφῆς ἴχνος.
Ἐλάμβαν' ἡ δισχιδὴς οὐρὰ τὸ σχῆμα
Τὸ φθαρὲν ἐκεῖ· γέγονε δὲ τὸ δέρμα
Μαλακὸν μὲν ἐν τούτῳ, σκληρὸν δ' ἐν κείνῳ.
Εἶδον τὰς χεῖρας εἰσδυούσας μασχάλαις,
Καὶ τοῦ θηρίου τοὺς δύο βραχεῖς πόδας
Αὔξοντας ὅσον αἱ χεῖρες ἐμειοῦντο.

Οἱ δ' ὀπίσθιοι πόδες ὁμοῦ στραφέντες
Ἐγένοντ' ἀνδρὸς τὸ κρυπτόμενον μέλος·
Τὸ τοῦ τάλανος δ' εἰς δύ' ἐσχίσθη πόδας.
Ἐν ᾧ δ' ὁ καπνὸς ἐκάλυπτ' ἀμφοτέρους
Χρώματι νέῳ, τὴν τρίχα τ' ἀνεγέννα
Ἐπὶ τοῦδ, ἥνπερ ἅτερος ἀφῃρεῖτο,
Ὁ μὲν ἀνέστη ποσίν, ὁ δ' ἄλλος κάτω
Ἔπεσ'· ἀλλ' οὐκ ἔτρεψαν τὰς σκαιὰς γλήνας,
Ὑφ' ἃς ἤλλασσεν ἑκάτερος μυκτῆρα,
Ὃν ὁ μὲν ὀρθὸς εἵλκυσ' ἐν τοῖς κροτάφοις·
Ἐκ τῆς δ' ἐν αὐτῷ πλεοναζούσης ὕλης
Ἐπὶ παρειῶν ἰσχνῶν ἐξῆλθεν ὦτα·
Τὸ δ' ὀπίσω μὴ συρθὲν καὶ μεῖναν μέρος
Τὴν ῥῖν' ἐσχημάτισεν ἐν τῷ προσώπῳ,
Τὰ χείλη τ' ἐπάχυνε καθ' ὅσον ἔδει.
Ὁ δὲ χαμαὶ κείμενος μυκτῆρ' ἐκτείνει,
Τά τ' ὦτ' ἔνδοθι τῆς κεφαλῆς ἀνέλκει,
Ὡς τὰ κέρατα συνεκροφεῖ κοχλίας.
Ἡ δὲ πρότερον συνηνωμένη γλῶσσα
Καὶ πολύλαλος ἐσχίσθη, τοῦ δ' ἑτέρου

Ἡ σχιστὴ συνηνώθη· καπνὸς δ' ἐπαύθη.
Ἡ ψυχὴ δ', ἥτις ἐγένετο θηρίον,
Ἔφυγε συρίζουσα διὰ τῆς τάφρου.
Ὁ δ' ἄλλος ὄπισθ' αὐτοῦ πτύων ἐλάλει·
Εἶτα στρέφων πρὸς αὐτὸν τοὺς νέους ὤμους,
Τῷ τρίτῳ λέγει· "Τρεχέτω δὴ Βουῶσος,
„Ὡς ἐγὼ 'ποίουν, ἕρπων ἐπὶ τῆς τρίβου."
Εἶδον οὑτωσὶ τὸν ἑβδόματον βόθρον
Μεταλλάσσοντα μορφάς· καὶ συγγνωσθείην
Τῆς καινότητος, εἰ γλῶσσ' ἐμὴ πλανᾶται.
Καίτοι γοῦν τῶν ὀφθαλμῶν συγκεχυμένων
Ὄντων μοι, καὶ τῆς ψυχῆς ἐκπεπληγμένης,
Οὐ μὴν ἠδυνήθησαν ἐκφυγεῖν κρύβδην,
Πρὶν ἢ γνωρίσω Πούκκιον Σκιαγκάτον,
Ὅστις δὴ μόνος τῶν τριῶν συνεταίρων
Τῶν πρότερον ἐλθόντων οὐκ ἠλλοιώθη·
Ὁ δ' ἄλλος ἦν, δι' ὃν σὺ θρηνεῖς, Γαυΐλη.

ΩΔΗ ΚΣΤ΄.

Οἱ πανοῦργοι σύμβουλοι.—Αἱ περιπατοῦσαι φλόγες.— Ὀδυσσεὺς καὶ Διομήδης.—Ὀδυσσέως ὕστατος πλοῦς.

Χαίροις, ὦ Φλωρεντία· σοῦ γὰρ τὸ κλέος
Περιΐπταται κατὰ γῆν τε καὶ πόντον,
Ἐκτείνεται δὲ καὶ μέχρι βυθῶν Ἅδου.
Μεταξὺ λῃστῶν εὗρον πολίτας πέντε
Ἐκ τῶν σῶν, ὅπερ περιβάλλει μ' αἰσχύνῃ,
Οὔτε σοι τιμὴν μεγάλην περιάπτει.
Ἀλλ' εἰ πρωΐας ἐνύπνι' ἀληθεύει,
Γνώσῃ μετὰ πάροδον οὐ μακροῦ χρόνου,
Τί σοι Πρᾶτον εὔχεται, πρὸς δέ τε κἆλλοι.
Εἰ δὲ συμβῆναι μέλλει, βέλτιον τάχει·
Τί γὰρ ὄφελος, εἰ πέπρωται γενέσθαι;
Γεραιτέρῳ μοι δυσφορώτερον τἆχθος.
Ἀπήλθομεν οὖν, καὶ διὰ τῶν κλιμάκων,
Δι' ὧν τοὺς κρημνοὺς κατέβημεν τὰ πρῶτα,

Ὁ Προστάτης ἀνέβη κἀνείλκυσέ με.
Βαινόντων δ' ἡμῶν τὴν ἐρημαίαν τρίβον,
Μέσον ἀγμάτων καὶ πετρῶν τῆς γεφύρας,
Ὁ ποῦς ἄνευ τῆς χειρὸς οὐκ εὐωδοῦτο.
Τότ' ἐλυπούμην, ἀλλὰ καὶ λυποῦμ' ἔτι
Ἀναλογιζόμενος, οἷά τιν' εἶδον.
Μᾶλλον δ' ἤ ποτε φρενὸς ἐκράτουν, ἵνα
Δίχ' ἀρετῆς χαλινοῦ μὴ παρατρέχῃ.
Ὥστ' εἴ τις ἀστὴρ ἀγαθός, ἤ τι κρεῖττον,
Καλὰ μοὔδωκεν, ἐμαυτῷ μὴ φθονεῖν με.
Ὅσας χωρίτης κείμενος ἐπὶ λόφου,
Καθ' ἣν ἐποχὴν ὁ τὸ σύμπαν φωτίζων
Ἧττονα χρόνον ἡμῖν τὴν ὄψιν κρύπτει,
Ὅτε κώνωπες διαδέχονται μυίας,
Βλέπει πυγολαμπίδας ἐν τῇ κοιλάδι,
Ἔνθ' ἀροτριᾷ καὶ τὴν τρύγην συλλέγει,
Τοσαύταις φλοξὶν ὁ πᾶς ἐφεγγοβόλει
Ὄγδοος βόθρος, ὡς εἶδον ἅμ' ἐκεῖσε
Ἀναβάς, ὅθεν ἐσκοπεῖτο τὸ βάθος.
Ὡς δ' ἐκεῖνος, ὃς δίκην λαβὼν δι' ἄρκτων

Εἶδ' ἐφ' ἅρματος ἀναληφθέντ' Ἠλίαν,
Ὁρμῶντας τ' εἰς οὐρανὸν εὐτόλμους ἵππους,
Οὐ δυνάμενος διασκοπεῖν τὴν ἄρσιν,
Οὐδ' ἄλλο τι καθορῶν ἢ φλόγα μόνην
Ἀνυψουμένην ἐν σχήματι νεφέλης·
Τοιαῦται φλόγες ἐν τῷ βάθει τοῦ βόθρου
Ἐκινοῦντο μὴ δεικνύουσαι τὸ κλέμμα,
Ἀλλ' ἑκάστης κρυπτούσης ἀλάστορ' ἕνα.
Ἱστάμην ὀρθός, βλέπων ἐκ τῆς γεφύρας
Οὕτως, ὥστ', εἰ μὴ στεῤῥᾶς εἰχόμην πέτρας,
Ἔπιπτον ἄν, οὐδενὸς κάτω μ' ὠθοῦντος.
Οὑμὸς δ' Ἡγήτωρ ἀτενίζοντ' ἰδών με
Εἶπ'· "Ἐντὸς πάσης φλογὸς ὑπάρχει πνεῦμα,
„Ἕκαστον ὡς ἔνδυμα τὴν φλόγα φέρον."
—"Προστάτ'," ἀπεκρινάμην, "ἐπεὶ σὺ λέγεις,
„Πέπεισμαι πάντως· ἀλλ' ὅτι τοῦτ' ἦν οὕτως
„Ἐφρόνουν· ὅμως ἤθελόν σ' ἐρωτῆσαι,
„Τίς ἔστ' ἐν φλογὶ τῇ διμερεῖ πρὸς τἄνω,
„Τῇ προσιούσῃ, τῇ δοκούσῃ τ' ἐκβαίνειν
„Ἐτεοκλέους ἐκ πυρᾶς ἀδελφοῦ τε;"

Ὁ δ' εἶπεν· "Ἔνδον Ὀδυσσεὺς τιμωρεῖται
„ Καὶ Διομήδης, ὁμοῦ βαίνοντες οὕτως
„ Ἐν τῇ δίκῃ νῦν, ὡς ζῶντες ἐν ταῖς ἔχθραις.
„ Εντὸς τῆς φλογὸς αὐτῶν κλαίουσιν ἤδη
„ Τὸν ἵππου δόλον, ὃς ἤνοιξε τὴν πύλην,
„ Ὅθεν ἐξῆλθ' εὐγενὲς Ῥωμαίων σπέρμα.
„ Θρηνοῦσ' ἀπάτην, δι' ἣν καίτοι θανοῦσα
„ Δηϊδάμεια μέμφετ' ἔτ' Ἀχιλλέως·
„ Δίκην τ' ὄφλουσι τῆς κλοπῆς παλλαδίου."—
—"Εἰ δύναντ' ἐκ τοῦ μέσου τῶν φλογῶν κείνων
„ Λαλεῖν," εἶπον, "Προστάτα, παρακαλῶ σε,
„ Καὶ παρακαλοῦντ' ἴσθι με χιλιάκις,
„ Ἵν' εὐδοκήσῃς ὧδ' ἡμᾶς παραμεῖναι,
„ Ἕως ἂν ἡ δίκερως φλὸξ πλησιάσῃ.
„ Ἰδὲ πρὸς αὐτὴν πῶς ὁ πόθος ὠθεῖ με."
Ὁ δ' εἶπεν· "Ἡ σὴ παράκλησις ἀξία
„ Πολλῶν ἐπαίνων· διὸ καὶ συναινῶ σοι·
„ Ἀλλὰ σύ γ' αὐτὸς ἐπίσχες τὴν σὴν γλῶσσαν.
„ Ἔα με λέγειν, ὡς ἐννοήσαντ' ἤδη
„ Τί θέλεις· καὶ γὰρ χαλεποὶ τάχ' ἂν ἴσως,

„Ἕλληνες ὄντες, ἔσοιντο τοῖς σοῖς λόγοις.”
Ἐπεί, τῆς φλογὸς ἐγγισάσης, Ἡγήτωρ
Ἐμὸς πρόσφορον εὗρε χρόνον καὶ τόπον,
Τότ᾽ ἤκουσ᾽ αὐτὸν προσφθεγγόμενον οὕτως·
“Ὑμεῖς οἱ πυρὸς ἐντὸς συνόντες ἄμφω,
„ Εἴ ποτ᾽ εὔνους ἦν ὑμῖν ἐπὶ ζωῆς μου,
„ Εἴ ποτ᾽ ὠφέλησ᾽ ὑμᾶς μικρὸν ἢ μέγα,
„ Ὅτ᾽ ἔγραφον ζῶν ἐν κόσμῳ τὰ θεῖ᾽ ἔπη,
„ Μὴ κινεῖσθε νῦν, ἀλλ᾽ εἷς ὑμῶν λεγέτω,
„ Ποῦ δὴ πλανηθεὶς θανούμενος ἀπέβη.”
Τότε τῆς πάλαι φλογὸς τὸ μεῖζον κέρας
Μορμυρίζον ἤρξατο διακλονεῖσθαι,
Καθάπερ φλόξ, ἣν πνέων ἄνεμος σείει.
Εἶτα κινοῦν κορυφὴν τῇδε κἀκεῖσε,
Ὡς ἂν εἴπερ ἦν ὁμιλοῦσά τις γλῶσσα,
Ἀφῆκε φωνὴν ἐκτός, λέγον· “Ἀφ᾽ ὅτου
„ Ἀπεχωρίσθην Κίρκης, ἥ με κατεῖχε
„ Πλέον ἔτους ἔγκρυπτον ἐγγὺς Καιήτης,
„ Πρὶν τοὔνομα τόδ᾽ Αἰνείαν αὐτῇ δοῦναι,
„ Οὔτε στοργὴ πρὸς υἱόν, ἀλλ᾽ οὔτε σέβας

„ Πρὸς πατέρα πρεσβύτην, οὐδ' ἁγνὸς ἔρως,
„ Ὃς Πηνελόπην ἔμελλ' εὐτυχῆ θήσειν,
„ Ἠδυνήθησαν δαμάσαι μου τὸν πόθον
„ Τοῦ γενέσθαι μ' ἔμπειρον τῶν ἐν τῷ κόσμῳ,
„ Γνῶναι τ' ἀνθρώπων ἀρετὰς καὶ κακίας·
„ Ἀλλ' ἀπέραντα περιῆλθον πελάγη
„ Ἐφ' ἑνὸς μόνου σκάφους καὶ σὺν ἑταίροις,
„ Ὧν ἐν κινδύνοις οὐδεὶς κατέλιπέ με.
„ Εἶδον ἄμφω τὰς ἀκτὰς μέχρι Σπανίας
„ Καὶ μέχρι Μαυρουσίας καὶ Σαρδοῦς νήσου
„ Κἄλλων, ἃς θάλασσ' ἐκείνη περιβρέχει·
„ Ἑταῖροι κἀγώ, γέροντες κεκμηκότες
„ Ἤδη, παρὰ τὸν πορθμὸν ἤλθομεν, ἔνθα
„ Ἡρακλῆς ἱδρύσατο τὰς αὑτοῦ στήλας,
„ Ἵνα μηδεὶς ἄνθρωπος βῇ περαιτέρω.
„ Ἵσπαλιν ἐκ δεξιᾶς χειρὸς παρῆλθον,
„ Ἐκ δ' εὐωνύμου παρέδραμέ με Σέπτα.—
, „ Ἄνδρες," εἶπον, “ οἵτινες διὰ μυρίων
, „ Κινδύνων εἰς τὴν δύσιν ἤλθετε σῶοι,
, „ Μὴ νῦν, ἐφ' ὅσον τοῦ λοιποῦ βραχὺν χρόνον

,„ Ἐγρηγορούσας ἕξετε τὰς αἰσθήσεις,
,„ Ἀποκνήσητε γνῶναι σαφῶς τὸν ὄντα
,„ Ἡλίου πέραν ἀκατοίκητον κόσμον.
,„ Ἀναμνησθῶμεν οἵας ἐσμὲν γενέθλης·
,„ Οὐ γὰρ ἴδιον ἡμῶν τὸ ζῆν ὡς κτήνη,
,„ Ἀλλὰ θηρεύειν ἀρετὴν κἀπιστήμην." '
" Οὕτως ἐξώτρυν' ἐμοὺς ἑταίρους αὕτη
„ Ἡ μικρὰ προσλαλιὰ πρὸς τὸν διάπλουν,
„ Ὥστ' εἶτα μόλις κατασχεῖν ἂν δυναίμην.
„ Πρὸς ἕω δὲ τρέψαντες σκάφους τὴν πρύμνην
„ Κώπαις ὡς πτεροῖς πρὸς τὴν ἄφρονα πτῆσιν
„ Ἐπ' ἀριστερὰν ἀεὶ πλέοντες ἦμεν.
„ Ἀστέρας ἤδη θατέρου πόλου πάντας
„ Τὴν νύκτ' ἔβλεπον· ὁ δ' ἡμέτερος κάτω
„ Ὑπὸ τὸν ὁρίζοντα βάδην ἐχώρει.
„ Πεντάκις πλῆρες ἀφανές τε τοσάκις
„ Τὸ φῶς ἐφάνη κάτωθεν τῆς σελήνης,
„ Ἀφ' ὅτου διέβημεν τὸν αἰπὺν πόρον,
„ Ὅτ' ὄρος ἡμῖν παρέστη μελανόχρουν
„ Ἐκ τῆς ἀποστάσεως, τοσούτου δ' ὕψους,

„ Οἷον οὐδέποτ' ἐγὼ πρότερον εἶδον.
„ Ἤσθημεν χαρὰν τραπεῖσαν τάχ' εἰς πένθος·
„ Ἐξεῤῥάγη γὰρ ἐκ τῆς νέας γῆς λαῖλαψ
„ Κατὰ πρόσωπον πατάξασα τὸ σκάφος,
„ Ὃ τρὶς κύμασι συμπεριεδινήθη.
„ Ἀλλὰ τέταρτον πρύμνης ἀρθείσης ἄνω,
„ Καὶ κάτω δύσης πρώρας, ὡς ἔδοξ' ἄλλῳ,
„ Τέλος ἡ θάλασσ' ἐφ' ἡμᾶς συνεκλείσθη."

ΩΔΗ ΚΖ΄.

Συνέχεια.—Γουΐδος Μοντεφέλτρου.

Ἡ φλὸξ ὄρθιος καὶ μὴ σαλεύουσ' ἔτι
Ἔπαυσε φθεγγομένη, κἀπήρχετ' ἤδη
Τῇ τοῦ γλυκέως ποιητοῦ συναινέσει,
Ὅτ' αὐτῆς ἄλλη κατόπιν ἐρχομένη
Πρὸς τὴν κορυφὴν αὐτῆς εἷλξε τὰς ὄψεις
Δι' ἐξιόντος συμμιγοῦς τινος ἤχου.
Ὡς ὁ Σικελικὸς βοῦς, οὗπερ ὁ πρῶτος
Μυκηθμὸς ἦν τὸ κλαῦμα (δικαίῳ λόγῳ)
Τοῦ διαμορφώσαντος αὐτὸν τῇ ῥίνῃ,
Τῇ πάσχοντος ἰδίᾳ φωνῇ 'μυκᾶτο,
Ὥστε, καίπερ χάλκεος ὅλος ὤν, ὅμως
Ὑπὸ τῆς λύπης κεντούμενος ἐδόκει,

Οὕτως οὐδέν' ἔχοντες πόρον ἐξόδου
'Εν τῇ φλογὶ τὸ πρῶτον, ὁπότ' ἐλάλει,
Οἱ βαρύθυμοι συνεχέοντο λόγοι.
'Αλλ' ἐπεὶ τὴν δίοδον εὔπορον εὗρον
'Εκ τῆς κορυφῆς ἕνεκα τῶν παλμάτων,
῞Απερ ἐποίει τὸ κίνημα τῆς γλώσσης,
Τότ' ἠκούσαμεν· "Σύ, πρὸς ὃν ἀποτείνω
„ Τὴν φωνήν, ὅστις λογγοβαρδικῶς ἄρτι
„ Εἶπας," "῎Απελθε τανῦν, οὐκέτ' ἐπείγω,"
„ Εἰ καὶ μικρόν τι βράδιον ἴσως ἦλθον,
„ Δέομαι, μεῖνον ἐμοὶ συνομιλήσων.
„ Μένοντά με δὴ καὶ φλεγόμενον βλέπεις.
„ Εἰ σύ γ' ἔναγχος εἰς τυφλὸν τόνδε κόσμον
„ 'Εκ γλυκείας ἔπεσες γῆς Λατινίδος
„ 'Εκείνης, ὅθεν πᾶν ἔγκλημ' ἐμὸν φέρω,
„ Λέξον· εἰρήνην ἢ πόλεμον 'Ρωμάνοι
„ ῎Αγουσ'; ἤμην γὰρ ἐξ ὀρέων Οὐρβίνου
„ Καὶ τῆς δειράδος, ὅθεν πηγάζει Θύμβρις."
'Ατενὴς καὶ προσκλινὴς ἤκουον ἔτι,
῞Οτε πλευρόθεν ἥψατό μου Προστάτης

Λέγων· "Ὁμίλει, Λατῖνός ἐστιν οὗτος."
Κἀγὼ τὴν ἀπόκρισιν ἔχων ἑτοίμην,
Ἠρξάμην παραυτίκα τοιάδε λέγων·
"Ὦ ψυχή, κεκρυμμένη νῦν οὖσα κάτω,
„ Οὐκ ἔστιν, οὔτε ποτ᾽ ἦν, σὴ Ῥωμανία
„ Βουλῇ τυράννων αὐτῆς ἄνευ πολέμου·
„ Ἀλλὰ νῦν ἐκεῖ φανερὸν οὐκ ἀφῆκα.
„ Ἔστι Ῥαύεννα καθὼς ἐν πάλαι χρόνοις.
„ Ἐπωάζων ἀετὸς ἐκεῖ Πολέντου
„ Τοῖς πτεροῖς αὐτοῦ τὴν Φικόκλην σκεπάζει·
„ Γῆ δ᾽ ἡ μακροὺς ἀγῶνας ὑποστᾶσ᾽ ἤδη,
„ Καὶ τῶν Γαλατῶν αἱματώδη σωρείαν
„ Ποιήσασ᾽, ὑπ᾽ ὄνυχας χλωρούς ἐστ᾽ ἔτι.
„ Βεῤῥουκκίου δ᾽ ὁ γέρων καὶ νέος κύων,
„ Οἱ κακώσαντες ἀνηλεῶς Μοντάγναν,
„ Ὀδὰξ ἐκεῖ δάκνουσιν, ὡς αὐτοῖς ἔθος.
„ Τῶν πρὸς Λαμόνῃ πόλεων καὶ Βαδρίνῳ
„ Ὁ λευκῆς ἄρχει φωλεᾶς λεοντίσκος,
„ Μερίδ᾽ ἀλλάσσων ἐκ θέρους εἰς χειμῶνα·
„ Ἡ δὲ πόλις, ἧς βρέχει τὴν πλευρὰν Σάπις,

„ Μέσον οὖσ᾽ ὄρους καὶ πεδιάδος, μέσον
„ Ἐλευθερίας ζῇ νῦν καὶ τυραννίδος.—
„ Ἤδη σύ, τίς εἶ, λέγε μοι, δέομαί σου·
„ Μή γε δὴ σκληρότερος ἔσο τῶν ἄλλων·
„ Εἴθ᾽ ἐν τῷ κόσμῳ μεγαλώνυμος εἴης."
Ἐπεὶ δ᾽ ὑπεσύριξεν ἡ φλὸξ μικρόν τι
Ἴδιον τρόπον, ἔσεισε τὴν ὀξεῖαν
Ἄκραν ἔνθεν κἀκεῖθεν, πνεύσασα τάδε·
" Εἴπερ ᾠόμην ὑπ᾽ ἀνδρὸς ἐρωτᾶσθαι
„ Εἰς τὸν κόσμον μέλλοντος παλινοστῆσαι,
„ Ἡ φλὸξ ἥδ᾽ ἂν εἱστήκει μὴ σειομένη.
„ Ἀλλ᾽ εἰδὼς μηδένα ποτ᾽ ἐκ βυθοῦ τοῦδε
„ Ἐκεῖσ᾽ ἀνελθεῖν, εἰ τἀληθὲς ἀκούω,
„ Ἄνευ δέους αἰσχύνης φράσω σοι πάντα.
„ Μαχητὴς ἤμην, ἀλλ᾽ ἔπειτα σχοινίτης,
„ Νομίσας οὕτω ζωσθεὶς δίκην ἐκτίσειν.
„ Ἡ δ᾽ ἐλπὶς ἡ 'μὴ πάντως ἂν ἐπληροῦτο,
„ Εἰ μή μ᾽ ἔῤῥιπτε πάλιν ἱερεὺς Μέγας
„ (Ὃς κακῶς ὄλοιτ᾽) εἰς πταίσματα τὰ πρῶτα.
„ Πῶς δὲ καὶ διὰ τί, νῦν μαθεῖν σε θέλω.

„ Ἐν ὅσῳ σχῆμ' ὀστέων καὶ σαρκῶν εἶχον,
„ Ἃ μήτηρ ἔδωκέ μοι, πᾶσα μου πρᾶξις
„ Οὐκ ἦν λέοντος, ἀλλ' ἀλώπεκος ἔργα.
„ Τὰς ἐπινοίας καὶ κρυπτὰς διεξόδους
„ Ἤδειν ἁπάσας· οὕτω δ' ἐμηχανώμην,
„ Ὥστ' ἐφημίσθην μέχρι τῶν γῆς περάτων.
„ Ὁπότε δ' ὅμως εἰς καιρὸν ἀφικόμην
„ Τῆς ἡλικίας, ἔνθ' ἕκαστος ὀφείλει
„ Ἱστία χαλᾷν καὶ περιστέλλειν κάλως,
„ Ὃ πρίν μ' ἤρεσκεν, ἀπεχθὲς τότ' ἐδόκει.
„ Εἰς ἐπιστροφὴν καὶ μετάνοιαν ἦλθον·
„ Τοῦτ ἔμελλέ με σώσειν· ἀλλ' οἴμοι τάλας!
„ Τῶν νεωτέρων Φαρισαίων ὁ Πρίγκιψ,
„ Πόλεμον ποιῶν ἐγγὺς τοῦ Λατεράνου,
„ Οὐ μὴν πρὸς Σαρακηνούς, οὔτ' Ἰουδαίους,
„ (Χριστιανοὺς γὰρ εἶχ' οὗτος ἐχθροὺς μόνον,
„ Μηδενὸς φροντίζοντος ἐκπορθεῖν Ἄκην,
„ Μήτ' ἐμπορεύεσθ' ἐν τῇ γῇ τοῦ Σουλτάνου),
„ Οὐκ ἐσεβάσθη τὴν ὑψηλὴν ἀξίαν
„ Αὐτός, ἢ τάξεις σεπτάς, οὔτ' ἐμὸν σχοῖνον,

„῝Ος εἴωθεν ἰσχναίνειν τοὺς ἐζωσμένους·
„᾽Αλλ᾽ ὡς Σίλβεστρον ᾔτησε Κωνσταντῖνος
„᾽Εντὸς Σωράκτου θεραπεῦσαι τὴν λέπραν,
„Οὕτως ᾐτήσατό με παραγγελίας
„Πρὸς θεραπείαν τοῦ δοξομανοῦς τύφου.
„᾽Εζήτει με συμβουλάς· ἀλλ᾽ ἐσιώπων,
„Τῶν λόγων αὐτοῦ μεθύοντος δοκούντων.
„Εἶτ᾽ εἶπεν· ‘ “῎Εξω δισταγμοῦ παντὸς ἔσο·
‚„᾽Απολύω σ᾽ ἀπὸ τοῦδ᾽, ἥν με διδάξῃς,
‚„Πῶς καταβαλεῖν δύναμαι Πραινεστῖνον.
‚„Οὐρανὸν ἔξεστί μοι κλείειν κἀνοίγειν,
‚„῾Ως οἶδας· ὅθεν αἱ κλεῖδές εἰσι δύο·
‚„Τοῦθ᾽ οὗπερ οὑμὸς προκάτοχος ἠμέλει.” ’
„Οὕτω σοβαροὶ λόγοι τότ᾽ ἔπεισάν με,
„῾Ως ἦν μοι χεῖρον τὸ σιωπᾶν τοῦ λέγειν·
„῞Ωστ᾽ εἶπον· ‘ “Πάτερ, ἐπεὶ σύ γε μ᾽ ἐκπλύνεις
‚„Ἧς ἔσομαι νῦν ἁμαρτίας ἐργάτης,
‚„῾Υπισχνούμενος πολλά, τελῶν δ᾽ ὀλίγα,
‚„Θριαμβεύσαις ἂν ἐπὶ τοῦ σεπτοῦ θρόνου.” ’
“῞Οτ᾽ ἐγὼ δ᾽ ἀπέθανον, ἦλθε Φραγκίσκος

„ Ζητήσων μ', ἀλλ' εἷς μελάνων Χερουβίνων
„ Εἶπ' αὐτῷ· ' " Μὴ τόνδ' ἔκφερε, μή μ' ἀδίκει·
, „ Κατελθεῖν εἰς τὸν ἐμὸν χῶρον ὀφείλει·
, „ Ἔδωκε γὰρ συμβουλὴν δολιοφρόνως·
, „ Ἔκτοτε δ' αὐτὸν ἐγὼ κρατῶ τῆς κόμης·
, „ Οὐκ ἔστ' ἄφεσις τῷ μὴ μετανοοῦντι·
, „ Οὐ συνυπάρχει μετανοεῖν καὶ θέλειν·
, „ Ἀντίφασις γὰρ οὐκ ἐπιτρέπει τοῦτο." '
" Οἴμ' ἐγὼ τάλας! οἷον ᾐσθάνθην τρόμον,
„ Ὅτε συνέλαβέ με λέγων· ' " Τάχ' ἴσως
, „ Οὔ μ' ἐνόμιζες λογικευτικὸν εἶναι." '—
" Ἀπήγαγέ μ' ὡς Μίνων· ὁ δὲ συστρέψας
„ Τὴν οὐρὰν αὐτοῦ περὶ νεφροὺς ὀκτάκις,
„ Ἔδακεν αὐτὴν μετὰ μεγάλης λύσσης
„ Εἰπών· ' " Ἐκ τῶν κρυπτικοῦ πυρός ἐσθ' οὗτος.' "
„ Καὶ δὴ νῦν ἐνταῦθ' ὄλλυμαι, καθὰ βλέπεις,
„ Καὶ πάσχω βαίνων ἐν ἐνδύματι τῷδε."
Περάνασα δ' ἐκτενῶς τὴν ὁμιλίαν
Ἡ φλὸξ ἤρξατο πορείας τῆς προτέρας,
Συστρεφομένη καὶ σείουσ' ὀξὺ κέρας·

Προέβημεν δ' Ἡγήτωρ ἐγώ τε πρόσω
Ἐπὶ τοῦ κρημνοῦ μέχρις ἀψῖδος ἄλλης,
Τάφρον σκεπούσης, ἔνθα πάσχουσιν ὅσοι
Σπείροντες διχόνοιαν θερίζουσ' ἄτην.

ΩΔΗ ΚΗ΄.

Οἱ προκαλοῦντες πολιτικὰς διχονοίας.—Πληγαὶ καὶ ἀκρωτηριασμοί.—Οἱ Σχισματάρχαι.—Κουρίων.—Μόσκας.—Βερτράνδος ὁ Βόρνου.

Τίς ποτ᾽ ἂν εἴποι καὶ δι᾽ ἀῤῥύθμων λόγων,
Ἃς νῦν ῥοὰς αἱμάτων καὶ πληγὰς εἶδον,
Αὐτάς τ᾽ ἀφηγήσαιτ᾽ ἂν ἀλλεπαλλήλως ;
Βεβαίως πᾶσαν γλῶσσαν εἰκὸς ἡττᾶσθαι,
Τῆς δυνάμεως οὐδόλως ἐπαρκούσης
Ἡμῖν τοῦ λέγειν καὶ τῷ νῷ συλλαμβάνειν.
Εἴπερ συνήγοντ᾽ εἰς ἓν ἅπαντες, ὅσων
Ἐπὶ τῆς δυστήνου γῆς τῆς Ἀπουλίας
Πάλαι ποτὲ τἄλγεινὸν αἷμ᾽ ἐξεχύθη
Ὑπὸ Ῥωμαίων, κἀν τῷ μακρῷ πολέμῳ,
Ἔνθ᾽ ἦν λάφυρα παμπλείστων δακτυλίων
(Καθὰ Λίβιος ὁ φιλαλήθης γράφει),
Κἀκεῖνοι πάντες οἱ δεινῶς πληγωθέντες
Ἀνθιστάμενοι πρὸς Ῥουβέρτον Γισκάρδον

Σὺν ἄλλοις, ὧν ἔτ' ὀστᾶ σεσωρευμένα
Ἔστ' ἐν Φρεγέλλαις, ὅπουπερ πᾶς ἦν ψεύστης
'Απουλιανός, ἔν τε Τιλακοσσίοις,
Ἔνθ' ἐνίκησ' ἀόπλως γέρων 'Αλάρδος,
Πάντων πεπηρωμένα καὶ τρητὰ μέλη
Δεικνύντων,—οὐδέν ποτ' ἂν ὁμοιωθείη
Ταῖς εἰδεχθείαις ἐννάτου περιβόλου.
Οὐ πίθος πλευρὰν ὀλέσας ἢ πυθμένα
Τοιάνδ' ὑπέστη τρῆσιν, οἷαν ἕν' εἶδον
Σχισθέντ' ἐκ τοῦ πώγωνος ἄχρι τῆς ἕδρας,
Ἔχοντ' ἔντερα κρεμάμεν' ἐπὶ σκέλη,
Τὰ σπλάγχνα γυμνά, καὶ τὸν βδελυκτὸν σάκκον
Τὸ καταβροχθὲν μεταβάλλοντ' εἰς κόπρον.
'Εν ᾧ δ' εἰς αὐτὸν ἀπέρειδον τὰς ὄψεις,
Εἶδέ με, καὶ τὸ στῆθος χερσὶν ἀνοίξας
Εἶπεν· " 'Ιδὲ νῦν ὡς σχιζόμενος πάσχω·
,, Ὡς κατάπηρός ἐστιν Ἄρειος βλέπε·
,, Ἄλλος ἔμπροσθεν ἐμοῦ βαδίζει κλαίων,
,, Σχιστὸς πρόσωπον ἐκ πώγωνος εἰς κάρα·
,, Καὶ λοιποὶ πάντες, οὓς σὺ βλέπεις ἐνταῦθα,

,, Σπορεῖς ζῶντες σκανδάλων σχισμάτων τ' ἦσαν·
,, Καὶ δὴ κατεσχισμένοι πάσχουσιν ἤδη.
,, Ἔστ' ὄπισθ' ἐκεῖ δαίμων ἡμᾶς πατάσσων
,, Οὕτως ἀπηνῶς, καὶ στόματι μαχαίρας
,, Πλήττων ἕκαστον τῆς συμμορίας ταύτης,
,, Ὅτ' ἀλγεινὴν τήνδ' ὁδὸν ἀνακυκλοῦμεν·
,, Τὰ τραύματα γὰρ ἡμῶν κλείεται πάλιν,
,, Πρὶν ἔμπροσθ' αὐτοῦ διαβῶμεν ἐκ νέου.
,, Ἀλλὰ σὺ τίς εἶς, ἑστὼς ἐπὶ γεφύρας,
,, Βραδύνων τ' ἴσως πρὸς τὴν ποινὴν προβῆναι
,, Τὴν ἐπιβληθεῖσάν σοι διὰ σὰς πράξεις;"
—" Οὔπω τέθνηκεν, οὔτε πταῖσμ' αὐτὸν φέρει
,, Πρὸς τιμωρίαν," εἶπεν οὑμὸς Προστάτης·
,, Ἀλλ' ἵνα λάβῃ πάντων ἐντελῆ πεῖραν,
,, Νεκρὸς ὢν ἐγὼ νομίζω πρέπον ἄγειν
,, Αὐτὸν εἰς πάντας τοὺς ἐντὸς Ἅδου κύκλους·
,, Τόδ' ἔστ' ἀληθὲς οὕτως, ὡς ὁμιλῶ σοι."—
Ἑκατὸν καὶ πρὸς τότ' ἀκούσαντες ταῦτα,
Ἔστησαν ἐν τῇ τάφρῳ προσβλέποντές με,
Ἐκ τοῦ θαυμασμοῦ λαθόμενοι βασάνων.

—“ Εἰπὲ τῷ Φρα-Δουλκίνῳ τροφὰς πορίζειν
„ Ἑαυτῷ σύ γ᾿, ὃς ἥλιον αὐτίκ᾿ ὄψει,
„ Εἰ μὴ τάχος ὧδ᾿ ἀκολουθεῖν μοι θέλει,
„ Ἵν᾿ ἡ στέρησις, χιόνος ἐπελθούσης,
„ Μὴ παράσχῃ τὴν νίκην τῷ Ναυαῤῥαίῳ·
„ Οὐ γὰρ ἔστ᾿ ἄλλως αὐτῷ διασωθῆναι.”—
Ἄρας τὸν πόδα τοῦ πορευθῆναι πρόσω
Ἄρειος προεῖπέ μοι τοιούτους λόγους·
Εἶτ᾿ ἐξέτεινε τὸν πόδ᾿ ἀναχωρήσας.
Ἄλλος τις ἔχων τὸν λαιμὸν τετρημένον,
Τὴν ῥῖνα τετμημένην ἄχρις ὀφρύων,
Οὗς τε μόνον ἕν, ἔστη τεθαυμασμένως
Ἀτενίζων πρὸς ἡμᾶς μετὰ τῶν ἄλλων,
Ὧν ἀπέναντι λάρυγγ᾿ ἤνοιξεν, οὗπερ
Ἐρυθρὰ τἀκτὸς ἅπαντ᾿ ἦν ἐξ αἱμάτων,
Λέγων· “Ὦ σύ, πταισμάτων ὑπάρχων ἄνευ,
„ Ὃν ἐπὶ Λατινίδος γῆς εἶδον ἤδη,
„ Εἰ μὴ λανθάνει μ᾿ ὁμοιότης μεγίστη,
„ Ἀναμνήσθητι Πέτρου Μεδικιναίου,
„ Ἢν τὴν ἡδεῖαν πεδιάδ᾿ ἐπανίδῃς,

„ Τὴν ἐκ Βαρκελλῶν κλίνουσαν εἰς Μαρκᾶβον.
„ Δήλωσον δὲ τοῖς δυσὶ βελτίστοις Φάνου,
„ Τῷ κυρῷ Γουΐδῳ τε κ' Ἀγγιολέλλῳ,
„ Ὡς, εἰ μὴ ψεύδοντ' ἐνταῦθ' αἱ προοράσεις,
„ Κατακρημνισθήσονται τῆς νηὸς ἔξω,
„ Καὶ πνιγήσονται Καθολικῆς πλησίον
„ Τῇ προδοσίᾳ παρασπόνδου τυράννου
„ Μεταξὺ νήσων Κύπρου καὶ Μαιορίκης.
„ Ποσειδῶν τοιόνδ' οὔποτ' ἀσέβημ' εἶδεν,
„ Οὔτ' ἐκ πειρατῶν οὔτ' ἀνδρῶν Ἀργολίδος.
„ Προδότης οὗτος ὁ μονοφθάλμως βλέπων,
„ Ὁ τῆς γῆς ἄρχων, ἣν ἐκ τῶν σὺν ἐμοί τις
„ Ἐβούλετο μή ποτ' ἂν πρότερον γνῶναι,
„ Αὐτοὺς εἰς βουλὴν παρ' ἑαυτῷ καλέσει,
„ Ποιήσει δ' ὅπως κατ' ἀνέμων Φωκάρου
„ Οὐ χρείαν ἕξουσ' εὐχῶν οὐδ' ἱκετείας."—
Καγὼ πρὸς αὐτόν· "Εἰπὲ καὶ δήλωσόν μοι,
„ Εἴ μ' ἄνω θέλεις ἀγγέλματά σου φέρειν,
„ Τίς ἐσθ' ὁ πικρὰν μνήμην τῆς χώρας ἔχων."
Τότε τὴν χεῖρα θέμενος ἐπὶ γνάθου

'Οπαδοῦ τινος, ἤνοιξ' αὐτοῦ τὸ στόμα
Κράζων· "Ὅδ' αὐτὸς οὗτος· φωνὴν δ' οὐκ ἔχει.
„ 'Εξόριστος ὢν διέλυσ' ἐνδοιάσεις
„ Καίσαρος δογματίσας· ' "Ὅστις ὑπάρχει
' „ Ἕτοιμος, ἀεὶ ζημιοῦται προσμένων." '
Ὢ, πόσον νῦν μοι κατάπληκτος ἐφάνη,
Ἔχων τὴν γλῶσσαν ἐν λαιμῷ τετμημένην,
Κουρίων, ὁ τολμήσας εἰπεῖν τοιαῦτα!
Ἄλλος τις ὢν κολοβὸς ἄμφω τὰς χεῖρας,
Ἄρας τὰς τομὰς ἐν τῷ στυγερῷ ζόφῳ,
Αἵματί τ' ἔχων τὴν ὄψιν πεφυρμένην,
Ἔκραξε· " Μέμνησο δὴ σὺ καὶ τοῦ Μόσκου,
„ Ὅστις, φεῦ! εἶπε," ' " Πᾶν πραχθὲν ἐτελέσθη," '
„ Ὃ πηγὴ κακῶν ἐγένετο τοῖς Τούσκοις."
'Εγὼ δ' ἐπεῖπον· " Καὶ θανάτου φυλῇ σου."
'Ο δ' ἐπὶ λύπης ἐπισωρεύων λύπην,
'Απῆλθ' ὡς ἀνὴρ μαινόμενος τῷ πάθει.
'Εγὼ δὲ μείνας κἀτενίζων τὸ πλῆθος,
Πρᾶγμ' αἴφνης εἶδον, ὅπερ οὐκ ἂν ἐτόλμων

'Αφηγήσασθαι μόνος ἀναποδείκτως,
Εἰ μή μ' ἐνεθάῤῥυνε τὸ συνειδός μου,
῾Ο πιστός ἐστ' ὀπαδὸς σώζων ἀνθρώπους
῾Υπὸ θώρακα καθαρῶν αἰσθημάτων.
Εἶδον βεβαίως, οἴομαι δ' ἔτι βλέπειν,
Σῶμα βαδίζον ἄνευ κεφαλῆς, ὥσπερ
Βαίνουσ' οἱ λοιποὶ τῆς λυπηρᾶς ἀγέλης.
Τμητὴν δ' ἐκράτει τὴν κεφαλὴν ἐκ κόμης
Τῇ χειρὶ δονουμένην ἐν εἴδει λύχνου.
Αὕτη δὲ βλέπουσ' ἡμᾶς ἔλεγεν· "Οἴμοι!"
'Εξ αὐτοῦ δ' ἐποίησεν ἑαυτῷ δᾷδα,
'Εν ἑνὶ δύο τ' ἦσαν, πρὸς δ' ἓν εἰς δύο.
Πῶς τοῦτο; μόνος ὁ διατάξας οἶδεν.
Εὐθὺ δ' εἰς πόδας προῆλθε τῆς γεφύρας,
Ἄρας σὺν τῇ κεφαλῇ τὴν χεῖρ' ἐπάνω,
῞Ιν' ἀκούσωμεν ἐγγὺς αὐτοῦ τοὺς λόγους,
Λέγοντος· "Τὴν εἰδεχθῆ νῦν ποινὴν βλέπε
„῾Ο ζῶν ἔτι σὺ κ'εἰς τοὺς νεκροὺς φοιτάζων.
„Βλέπ', εἰ τῆς ποινῆς ταύτης μείζων ἔστ' ἄλλη.
„'Αλλ' ὡς ἂν ἀγγελίας ἐμὰς κομίσῃς,

„ Υἱόν μ' ὄντ' ἴσθι Βερτράμου τοῦ Βρονίου,
„ Κακὴν συμβουλὴν Ῥηγὶ δόντ' Ἰωάννῃ.
„ Πατέρ' ἐποίησ' υἱόν τ' ἐχθροὺς ἀλλήλοις·
„ Πρὸς Ἀβεσσαλὼμ καὶ Δαυὶδ Ἀχιτόφελ
„ Οὐ βουλαῖς ἐπιβούλοις ἔπραξε χείρω.
„ Ὡς χωρίσας δὲ δύο συνηνωμένους,
„ Τὸν ἐγκέφαλον, φεῦ! χωρισθέντα φέρω
„ Ἐκ τῆς βάσεως οὔσης ἐν κορμῷ τῷδε·
„ Οὕτω δ' ὑπέχω τὴν ἀντιποίνου δίκην.

ΩΔΗ ΚΘ'.

Συνέχεια —Οἱ ἀλχυμισταί.—Βάσανοι διὰ στυγερῶν νοσημάτων.

Πληγῶν παντοίων καὶ πλήθους πολλοῦ θέα
Οὕτω κατεμέθυσε τὰς ἐμὰς ὄψεις,
Ὥστ' ἐπιθυμεῖν παραμεῖναι καὶ κλαίειν.
Πλὴν Βιργιλιος εἶπέ μοι· "Τί δὴ βλέπεις;
„ Τί δὲ δὴ τοὺς ὀφθαλμοὺς ἔτ' ἐπερείδεις
„ Εἰς τὰς οἰκτρὰς καὶ πηρὰς ψυχὰς ἐκείνας;
„ Οὐ μὴν ἔπραξας οὕτως ἐν ἄλλαις τάφροις.
„ Εἰ θέλεις ἐπαριθμεῖν, ἴσθι τὴν τάφρον
„ Γῦρον ἔχειν σταδίων διακοσίων.
„ Ὑπὸ πόδας νῦν ἡμῶν ἔσθ' ἡ σελήνη·
„ Βραχὺς δὲ καιρὸς ἡμῖν εἰσέτι μένει,
„ Ἄλλα τ' ἔχομεν ἰδεῖν πλὴν ὅσων βλέπεις."
—"Εἴ γ' ἐνόησας," εὐθὺς ἀπεκρινάμην,
"Τὸν λόγον, δι' ὃν ἐνητένιζον οὕτως,

„Ἴσως ἂν πλέον ἐπέτρεψάς μοι μένειν."—
Ἀνεχώρησεν ἤδη, κἀγὼ κατόπιν,
Οὑμὸς Ἡγήτωρ, ὡς ὁμιλεῖν ἠρξάμην.
Ἀλλ' εἶτ' ἐπεῖπον· "Ἐντὸς τῆς τάφρου 'κείνης
„Ἔνθ' εἶχον πεπηγμένας τὰς ἐμὰς ὄψεις,
„Νομίζω, πνεῦμ' ἔκλαιεν ἐξ αἵματός μου
„Τὸ πταῖσμ', ὃ σκληρῶς τιμωρεῖται 'κεῖ κάτω."
Τότ' εἶπέ μοι Προστάτης· "Μὴ δὴ τὴν φρένα
„Ἐπανάφερε τοῦ λοιποῦ πρὸς ἐκεῖνον·
„Πρὸς τἆλλα πρόσχες· οὗτος δ' ἐκεῖ μενέτω.
„Εἶδον γὰρ αὐτὸν εἰς πόδας τῆς γεφύρας
„Δεικνύοντά σε κἀπειλοῦντα δακτύλῳ,
„Ἤκουσά τε λέγοντος· ' "Γέρης ὁ Βέλλου." '
„Ἀλλὰ σὺ τότ' ἦς οὕτως ἠσχολημένος
„Περὶ τὸν ποτὲ κύριον Ἀλταφόρτης,
„Ὥστε, σοῦ μὴ προσχόντος, αὐτὸς ἀπῆλθεν."
—"Ἡγήτωρ ἐμός! ὁ βίαιος," τότ' εἶπον,
"Θάνατος, οὗπερ δίκην οὐκ ἔσχεν ἔτι
„Πρός τινος τῶν αἰσχύνης συγκοινωνούντων,
„Τάχ' αὐτὸν παρώργισε· διὸ κἀπῆλθε

„ Μὴ προσφθεγξάμενός μοι, καθὰ νομίζω·
„ Ἀνθ᾽ ὧνπερ αὐτὸν ἔτι μᾶλλον οἰκτείρω."
Ταῦτ᾽ ἐλέγομεν μέχρι τοῦ πρώτου τόπου
Σπιλάδος, ὅθεν εἴδομεν ἂν τῆς ἄλλης
Κοιλάδος βάθος, εἰ πλεῖον φῶς ὑπῆρχεν.
Ὅτε δ᾽ ἀφίγμεθ᾽ ἐπὶ τῆς Κακοβόθρου
Ἐσχάτης μονῆς, ἔνθεν οἱ καθειργμένοι
Θεατοὶ πρὸς τὰς ἡμῶν ὁράσεις ἦσαν,
Οἰμωγαὶ παντομιγεῖς ἠκόντισάν μοι
Ἐν τῇ καρδίᾳ σιδηροφόρα βέλη,
Ὥστ᾽ ἐκάλυψα χερσὶ τὰς ἀκοάς μου.
Ἄλγος ἦν, οἷον εἰ τῶν νοσοκομείων
(Ἰουλίου μεταξὺ καὶ Σεπτεμβρίου)
Κλάνεως, Σαρδοῦς, Μαρέμμας πάθη πάντα
Ἐν μιᾷ τάφρῳ παρῆν συνηθροισμένα.
Τοιάδ᾽ ἐκεῖθεν ἀπέπνει δυσωδία,
Οἵαν ἐκπέμπει τὰ σεσηπότα μέλη.
Κατέβημεν δὲ μέχρις ἐσχάτης ὄχθης
Τοῦ μακροῦ κρημνοῦ πρὸς ἀριστερὰν χεῖρα,
Καὶ τότ᾽ ὄψεις ἔτεινα ζωηροτέρας

Ἐπὶ τὸν βυθόν, ἔνθαπερ ἡ Κυρίου
Διάκονος, ἀσφαλὴς Δικαιοσύνη,
Τιμωρεῖ γνωστοὺς κιβδηλείας ἐργάτας.
Οὐκ ἂν ἴδοι τις θέαν λυπηροτέραν,
Ὅτ᾽ ἐν Αἰγίνῃ λαὸς ἅπας ἐνόσει
Ἐξ οὕτω κακῆς μολύνσεως ἀέρος,
Ὥστε τὰ ζῶα μέχρι μικρῶν σκωλήκων
Ἅπαντ᾽ ἔπεσε, καὶ δὴ τἀρχαῖον γένος,
Καθὼς παλαιοὶ ποιηταὶ βεβαιοῦσιν,
Ἐκ τῆς σπορᾶς μυρμήκων ἀντικατέστη,
Ἥπερ ἦν ἰδεῖν ἐν τῷ ζοφώδει βόθρῳ
Συντηκόμενα τὰ πνεύματ᾽ ἐν σωρείαις.
Ὁ μὲν ἐπὶ κοιλίας, ὁ δ᾽ ἐπὶ νώτων
Ἔκειντ᾽ ἀλλήλων, ἄλλος δέ τις προσέρπων
Ἔσυρ᾽ ἑαυτὸν ἐπὶ τῆς οἰκτρᾶς τρίβου.
Ἐπορευόμεθ᾽ οὐδὲν λέγοντες βάδην,
Βλέποντες κἀκούοντες τοὺς ἀσθενοῦντας,
Τὸ σῶμ᾽ ἑαυτῶν οὐ δυναμένους ἆραι.
Εἶδον συγκαθημένους σύνεγγυς δύο,
Ὡς πρὸς θέρμανσιν κλίβανος πρὸς κλιβάνῳ,

Πλήρεις λεπίδων ἐκ κεφαλῆς εἰς πόδας.
Οὔποτ' εἶδον κινοῦντα τὴν ξυστρίδ' οὕτως
Οἰκέτην, ὅνπερ ὁ δεσπότης προσμένει,
Οὔτε τιν' ἄλλον ἀγρυπνοῦντ' ἀκουσίως,
Ὡς αὐτῶν ἑκάτερος ἔξυεν ἄκροις
Τῶν ὀνύχων ἑαυτόν, ἵνα πραΰνῃ
Τὴν ὅλως ἀνίατον τοῦ κνησμοῦ λύσσαν.
Οἱ δ' ὄνυχες ἀπέσπων τὰς ἐφελκίδας,
Ὡς ἡ μαχαιρὶς τὰς λεπίδας τοῦ σκάρου,
Ἢ μείζονας ἔχοντος ἰχθύος ἄλλου.
"Ὦ σύ, δακτύλοις σεαυτὸν ἀποδέρων,"
Οὑμὸς Ἡγήτωρ εἶπε πρὸς ἕνα τούτων,
"Καὶ ποιῶν διηνεκῶς αὐτοὺς σχενδύλας,
„Εἰπέ μοι, Λατίνων τις ἔστ' ἆρ' ἐν μέσῳ
„Τῶν ἐντὸς τούτων; εἴθ' ἐπαρκέσειάν σοι
„Ὄνυχες οἱ σοὶ πρὸς τοὖργον αἰωνίως!"
—"Ἐσμὲν Λατῖνοι, δυσμόρφους οὓς σὺ βλέπεις
„Ὧδ', ἀμφότεροι," κλαίων εἷς ἀπεκρίθη·
"Ἀλλὰ σὺ τίς εἶ; πρὸς τί δ' ἡμῶν πυνθάνῃ;"—
Εἶπε δ' Ἡγήτωρ· "Ἐγὼ μὲν καταβαίνω

„ Ἀπὸ βάθους εἰς βάθος σὺν ζῶντι τούτῳ,
„ Ὅπως ἂν αὐτῷ δείξω τὸν Ἅδην ὅλον."
Τότε παύσαντες συνερείδειν ἀλλήλους
Ἐτράπησαν πρὸς ἐμὲ τρέμοντες ἄμφω
Μετὰ τῶν ἄλλων τὰ ῥηθέντ' ἀκουσάντων.
Ὁ δ' ἀγαθὸς Προστάτης προσήγγισέ μοι
Λέγων· "Εἰπὲ δὴ τούτοις νῦν, εἴ τι βούλει."
Ἐγὼ δ' ἠρξάμην, ἀδείας μοι δοθείσης·
"Εἴθ' ὑμῶν μήποτ' ἐξίτηλος ἡ μνήμη
„ Γένοιτο παρ' ἀνθρώποις τοῦ πρώτου κόσμου,
„ Ζωὴ δὲ διὰ πολλῶν ἡλίου κύκλων!
„ Εἴπατε, τίνες ἐστὲ καὶ ποίου γένους·
„ Ἡ δεινὴ κ' αἰσχρὰ βάσανος ὑμῶν αὕτη
„ Ὑμᾶς μὴ κωλυέτω φράσαι μοι τοῦτο."
—"Εἴμ' Ἀῤῥητινός· ὁ δ' Ἄλβερος ὁ Σήνης,"
Εἶπεν ἅτερος, "εἰς τὸ πῦρ ἔῤῥιψέ με·
„ Ἀλλ' ὃ μ' ἐθανάτωσεν οὔ μ' ἤγαγ' ὧδε.
„ Ἀληθῶς ποτε πρὸς αὐτὸν εἶπον παίζων,
„ Ὅτι δυναίμην ἵπτασθαι δι' ἀέρος·
„ Αὐτὸς δ' ὢν περίεργος καὶ μωρὸς ἅμα,

„Ἤτησέ με τὴν τέχνην δεῖξαι, καὶ μόνον
„Ὡς μὴ Δαίδαλον φανέντ' ἐποίησέ με
„Καυθῆν' ὑπὸ φιλοῦντος αὐτὸν ὡς τέκνον.
„Ἀλλά μ' εἰς τὸν ἔσχατον τῶν δέκα βόθρων
„Δι' ἀλχυμίαν, ἣν ἔπραττον ἐν κόσμῳ,
„Ἔπεμψε Μίνως, ὃς οὔποτ' ἀπατᾶται."—
Κἀγὼ πρὸς τὸν Ποιητήν· "Οὔποτ' ἦν ὄντως
„Γένος οὕτω κενόφρον, ὡς τὸ Σηναῖον·
„Βεβαίως οὐ τοσοῦτον τὸ γένος Γάλλων."
Ὁ δ' ἕτερος λεπρώδης ἀκούσας ταῦτα
Ἐπεῖπεν ἀποκριθείς· "Ἐκτὸς τοῦ Στρίκκα,
„Φειδωλοῦ τόσον ἐν ταῖς αὐτοῦ δαπάναις,
„Καὶ τοῦ Νικολοῦ, τοῦ τὴν καρυοφύλλου
„Πλουσίαν χρῆσιν εὑρόντος ἐν τῷ κήπῳ,
„Ἔνθ' εὐτυχῶς ἐμβιοῖ τοιοῦτο σπέρμα,
„Καὶ τῆς φρατρίας, μεθ' ἧς κατεσπατάλα
„Κακκίας Ἀσκιανὸς δρυμοὺς κἀμπέλους,
„Καὶ τὸν αὐτοῦ νοῦν ἔδειξ' Ἀββαλιάτος.
„Ἵνα δὲ μάθῃς, τίς ἔσθ' ὁ συμφρονῶν σοι
„Κατὰ Σηναίων, τρέψον πρός με τὸ βλέμμα,

„Ὥστε τὴν ἐμὴν ἔχειν ἄντικρυς ὄψιν.
„Ὄψει δή μ᾽ ὄντα τὴν σκιὰν Καποκίου,
„Ὃς μέταλλ᾽ ἐδόλωσα δι᾽ ἀλχυμίας.
„Εἰ δὲ μὴ σφάλλω, μεμνῆσθαί σε νομίζω,
„Ὅτι καλὸς ὑπῆρξα φύσεως πίθηξ."

ΩΔΗ Λʹ.

Οἱ ψευδώνυμοι ἢ ἐπιβούλως ὑποκρινόμενοι πρόσωπον ἄλλων.—Οἱ παραποιοῦντες νομίσματα καὶ οἱ διὰ λόγων ψευδόμενοι.—Μήστωρ Ἀδάμος καὶ Σίνων ὁ Τρωϊκὸς Ἕλλην.

Ἐν καιρῷ, καθ᾽ ὃν Ἥρα δι᾽ ὀργῆς εἶχεν
Ἕνεκα τῆς Σεμέλης τὴν τῶν Θηβαίων
Φυλήν, ὡς κατέδειξεν αὐτὸ πολλάκις,
Ἀθάμας οὕτως ἐγένετο παράφρων,
Ὥστ᾽ ἰδὼν τὴν γυναῖκα προερχομένην,
Ἄγουσάν τε ταῖς χερσὶ τὰ δύο τέκνα,
Ἔκραξε· "Τὰ δίκτυα στήσωμεν, ὅπως
„Ἀγρεύσω τὴν λέαιναν καὶ λεοντίσκους."
Εἶτ᾽ ἐξέτεινε τὰς ἀνηλεεῖς χεῖρας,
Καὶ λαβὼν τὸν Λέαρχον, ἕνα τῶν παίδων,
Καὶ περιτρέψας κατέαξ᾽ ἐπὶ πέτρας·
Ἡ δὲ μήτηρ ἐπνίγη μετὰ θατέρου.

Καὶ καθ᾽ ὃν καιρὸν ἐταπείνωσ᾽ ἡ Τύχη
Ὕψος Τρωϊκὸν τολμηρόν, κ᾽ ἠφανίσθη
Ὅ τε βασιλεὺς καὶ βασίλειον ἅμα,
Δύστηνος, τάλαιν᾽, αἰχμάλωτος Ἑκάβη
Ἰδοῦσα νεκρὰν θύγατρα Πολυξένην,
Υἱόν τε Πολύδωρον παρὰ θαλάσσης
Τὴν ἀκτὴν νεκρὸν τληπαθῶς ἀνευροῦσα,
Ἐμμανὴς ὅλως, ὑλάκτησεν ὡς κύων·
Οὕτω τῶν φρενῶν ὑπὸ λύπης ἐξέστη!
Ἀλλ᾽ οὔτ᾽ Ἐριννῦς Θηβῶν οὔτε Τρῳάδες
Τοιάνδε ποτ᾽ ἔδειξαν σκληροκαρδίαν,
Ὥστε νύττειν οὐ θῆρας, ἀλλ᾽ οὔτ᾽ ἀνθρώπους,
Οἵαν ὅτ᾽ ὠχρὰς γυμνὰς σκιὰς δύ᾽ εἶδον,
Αἳ δάκνουσαι τοιοῦτον ἔτρεχον τρόπον,
Ὡς χοῖρος, ὅτ᾽ ἐξέρχετ᾽ ἐκ συφεῶνος.
Ἡ μὲν τὸν Καπόκκιον κατέσχ᾽ ἐκ κόμβου
Τοῦ τραχήλου, καὶ δάκνουσ᾽ ἔσυρεν οὕτως,
Ὥστ᾽ αὐτὸν τῇ κοιλίᾳ τὴν γῆν σκαλεῦσαι.
Ὁ δ᾽ Ἀῤῥητινός, ὅστις ἔμεινε τρέμων,
Εἶπε· “Γιάννης Σκίκκης ἔσθ᾽ ὁ παράφρων

„ Οὗτος· τρέχει δ' ἐν λύσσῃ σπαράσσων ἄλλους."
Κἀγὼ πρὸς αὐτόν· " Εἴθε θἄτερον πνεῦμα
„ Μη τοὺς ὀδόντας ἐμπήξαι σοι! πλὴν λέγε,
„ Εἴ σ' ἀρέσκει, τίς ἐστι, πρὶν ἐκχωρήσῃ."
Ὁ δὲ πρὸς ἐμέ· " Μιαρᾶς ἐστιν αὕτη
„ Μύῤῥας ἀρχαία σκιά, τῆς γενομένης
„ Πατρὸς ἑαυτῆς ἀνοσίως ἑταίρας.
„ Ἄγος τόδ' εἰργάσατο μετ' αὐτοῦ, σχῆμα
„ Ἄλλης γυναικὸς δόλῳ μεταλαβοῦσα,
„ Ὥσπερ ἐκεῖνος, ὃς ἐκεῖ κάτω τρέχει,
„ Ἵνα κερδάνῃ τὴν ὡραίαν φορβάδα,
„ Πλάσας ἑαυτὸν ὡς Βουῶσον Δωνάτον,
„ Διέθετο δοὺς κῦρος τῇ διαθήκῃ."
Εἶτα τῶν δύο λυσσωδῶν διαβάντων,
Ἐφ' οὓς εἶχον τὰς ὄψεις ἐπηρεισμένας,
Ἔτρεψ' αὐτάς, ἵν' ἴδω δυστήνους ἄλλους.
Τότ' εἶδόν τιν', ὃς σχῆμ' ἂν εἶχε βαρβίτου,
Εἰ τετμημένον τὸν βουβῶν' εἶχ' ἐκ μέρους,
Ἔνθα τἀνθρώπου διασχίζεται σῶμα.
Ὁ τυμπανόεις ὕδρωψ, ὃς παραλλάσσει,

Τοὺς χυμοὺς παρεκτρέπων, οὕτω τὰ μέλη,
Ὥστ' οὐ πρόσωπον ἀναλογεῖ κοιλίᾳ,
Ἐβίαζ' ἔχειν τὰ χείλη κεχηνότα,
Ὡς ὁ φθισικὸς τῇ δίψει πάσχων στρέφει
Τῶν χειλέων ἓν ἄνω, θἄτερον κάτω.
—"Ὑμεῖς, οἵτινες ἔρχεσθ' ἀτιμωρήτως,
„Ἀγνοῶ δὲ πῶς, εἰς οἰκτρὸν κόσμον τόνδε,
„Ἴδετ'," εἶπ' αὐτὸς ἡμῖν, "ῥίψατε βλέμμα
„Οἴκτου πρὸς τὸν δυστυχῆ Μήστορ' Ἀδάμον.
„Ζῶν εἶχον ἅλις πάντων, ὧν ἐβουλόμην·
„Νῦν δ' ὕδατος, φεῦ! ποθῶ σφοδρῶς ῥανίδα.
„Τοὺς ῥύακας, οἵτινες ἐκ χλωρῶν λόφων
„Τοῦ Κασεντίνου καταβαίνουσ' εἰς Ἄρνον,
„Ψυχροὺς χἀπαλοὺς ὑδραγωγοὺς ποιοῦντες,
„Ἀεὶ πρὸ τῶν ὀφθαλμῶν ἔχω καὶ πάσχω.
„Ἡ ποθητὴ γὰρ εἰκών μ' ἐξαυχμοῖ μᾶλλον
„Ἢ τὸ πάθος, ὃ κατισχνοῖ μου τὴν ὄψιν.
„Κολάζει δέ μ' ἡ σκληρὰ Δικαιοσύνη,
„Ἐκ χώρας, ἔνθ' ἥμαρτον, ἕλκουσα τρόπους,
„Ἵν' ἔτι μᾶλλον αὐξάνῃ μου τοὺς στόνους.

„Ἐνόθευσα γὰρ ἔνθα κεῖται Ῥωμένα
„Τὸ νόμισμ', ὃ Βαπτιστοῦ φέρει σφραγίδα·
„Διὸ τὸ σῶμα καυστὸν ἔλιπον ἄνω.
„Ἀλλ' εἴ γ' ἔβλεπον ἐνταῦθα τὴν Γουΐδου,
„Ἀλεξάνδρου τε ψυχήν, ἢ ταὐταδέλφου,
„Προειλόμην ἂν τοῦτο τῆς κρήνης Βράνδας.
„Ἔνδον ἔσθ' ἡ μί' αὐτῶν, εἴ γ' αἱ λυσσώδεις
„Περιβαίνουσαι σκιαὶ τἀληθὲς εἶπον.
„Πλὴν τί τοὔφελος ἔχοντι δετὰ μέλη;
„Ἀλλ' εἰ κοῦφος οὕτως ἦν, ὥστε βαδίσαι
„Ἐν ἑκατὸν ἔτεσι δάκτυλον ἕνα,
„Ἐπεχείρουν ἂν ὁδεῦσαι, καὐτὸν πέριξ
„Ἐν οἰκτρᾷ κοιλάδι τῇδ' ἀναζητῆσαι,
„Καίπερ στάδια τὸ μὲν μῆκος ἐχούσῃ
„Ἑκατόν, τὸ δὲ πλάτος στάδια πέντε.
„Ἕνεκ' αὐτῶν ἐν τοιῷδ' εἰμι νῦν τόπῳ,
„Παρακόψαι με πεισάντων τοὺς στατῆρας
„Σύγκραμ' ἔχοντας ἐκ τριῶν κερατίων."—
Κἀγὼ πρὸς αὐτόν· "Τίνες εἰσὶν οἱ δύο,
„Οἱ καπνιῶντες ὡς χεὶρ βρεκτὴ χειμῶνος,

„ Κείμενοι δὲ σύσφιγκτοι πρὸς δεξιάν σου ;"
—" Αὐτοὺς ὧδ' εὗρον· ἀλλ' ἀκίνητοι κεῖνται,"
Εἶπεν, " ἐξότ' εἰς βυθὸν ἐῤῥίφθην τόνδε.
„ Νομίζω δ' οὕτω μενοῦσι δι' αἰῶνος.
„ Ψεύστειρ' Ἰωσὴφ κατήγορός ἐσθ' ἥδε·
„ Ὁ δ' ἄλλος ψεύστης Σίνων, Τρωϊκὸς Ἕλλην·
„ Ἐκ θέρμης πολλῆς πέμπουσ' ἀτμὸν δυσώδη."—
Εἶς δ' αὐτῶν ἐρεθισθείς, ἀκούσας ἴσως
Ἑαυτὸν καλούμενον λοιδόρως οὕτω,
Πὺξ ἔτυψ' αὐτοῦ τὴν φυσητὴν γαστέρα·
Ἡ δ' ἤχησεν οἷον δὴ τύμπανον· τότε
Μήστωρ Ἀδάμος ἔπαισ' αὐτοῦ τὴν ὄψιν
Τῷ βραχίονι μετ' οὐχ ἧττονος βίας,
Λέγων πρὸς αὐτόν· " Καίτοι στερηθεὶς πάμπαν
„ Τῆς κινήσεως τῶν βαρέων μελῶν μου,
„ Πλὴν ἔχω πρὸς τοῦτ' ἐλευθέραν τὴν χεῖρα."
Ὁ δ' ὑπέλαβεν· " Ἀλλ' ὁπότ' ἐπορεύου
„ Εἰς τὴν πυράν, οὐχ οὕτως ἑτοίμην εἶχες,
„ Ὡς πρὸ πάντων ὅτ' ἐνομισματοκόπεις."
Ὁ δ' ὑδρωπικός· " Ἀληθῶς εἶπας ταῦτα·

„ Ἀλλ' οὐκ ἀληθὴς ἦσθα μάρτυς ἐν Τροίᾳ,
„ Ὅτε τὴν ἀλήθειαν εἰπεῖν ἐκλήθης."—
"Εἰ ψεῦδος εἶπον, καὶ σὺ νόμισμ' ἐψεύσω,"
Εἶπε Σίνων· "πλὴν δι' ἓν εἰμ' ὧδε σφάλμα·
„ Σὺ δὲ διὰ πλείον' ἢ πᾶς ἄλλος δαίμων."—
—"Σὺ δ', ἐπίορκε, μέμνησο τὸν σὸν ἵππον,"
Ὑπέλαβ' ὁ γαστέρα φυσητὴν ἔχων·
"Λάβε δὴ ποινὴν γνωστὴν παντὶ τῷ κόσμῳ."—
—"Ἡ δίψ' ἔστω σοι ποινή· διαῤῥαγείη,"
Εἶπεν Ἕλλην, "σὴ γλῶσσα, τό τε σηπῶδες
„ Ὕδωρ, ὃ σὺν τῇ γαστρὶ φράττει σὴν ὄψιν."—
Ὁ δὲ παραχαράκτης· "Οὕτως ἂν χάσκοι
„ Εὐρὺ στόμα σὸν κακολογοῦν, ὡς ἔθος·
„ Εἰ δ' ἐγὼ διψῶ καὶ χυμός μ' ἀνοιδαίνει,
„ Σύ γε φλεγμονεῖς καὶ κεφαλαλγεῖς σφόδρα,
„ Ὦσθ', ἵνα τὸ κάτοπτρον λείξῃς Ναρκίσσου,
„ Οὐχὶ προτροπῶν πολλῶν ἔσται σοι χρεία."—
Ὅλως ἀτενὴς ἤμην αὐτοὺς ἀκούων,
Ὅτ' εἶπέ μοι Προστάτης· "Σαυτῷ νῦν πρόσχες·
„ Μικροῦ δεῖν πρὸς σὲ χαλεπαίνων ἂν εἴην."

Ἰδὼν δ' ὅτι μοι προσεφθέγγετ' ὀργίλως,
Μετ' ἐντροπῆς πρὸς αὐτὸν τοιᾶσδ' ἐστράφην,
Ὥστ' εἰσέτ' ἐν τῇ μνήμῃ φυλάσσεταί μου.
Ὡς δ' ὃς δυστυχὲς ὄναρ ὁρᾷ καθ' ὕπνους,
Ἐν ὀνείρῳ τότ' ὢν ὀνειρώττειν ἐλπίζει,
Ποθῶν ὡς ἀνύπαρκτον ὅπερ δὴ βλέπει,
Τοιοῦτος ἤμην, μηδὲν ἰσχύων λέγειν.
Ἐπόθουν γὰρ συγγνώμην αἰτεῖν, καὶ πάντως
Ἤτουν μέν, ἀλλὰ ποιεῖν τοῦτ' οὐκ ᾠόμην.
“Ἥσσων ἐντροπὴ μεῖζον ἐκπλύνει σφάλμα
„Ἥπερ ἦν τὸ σόν,” εἶπεν οὑμὸς Προστάτης·
“Διὸ πᾶσά σου θλίψις ἤδη παυσάσθω.
„Ἡγοῦ δ' ᾀεὶ παρὰ σοὶ παρίστασθαί με,
„Ἤν ποτ' ἐκ τύχης εὑρεθῇς ἐν ἀνθρώποις
„Τοιᾷδ' ἔριδι διαπληκτιζομένοις·
„Ἀγενὲς γὰρ τὸ θελειν τοιαῦτ' ἀκούειν.”

ΩΔΗ ΛΑ'.

*Οἱ Γίγαντες.—Νεμβρώδ.—Ἐφιάλτης.—Ἀνταῖος.—
Κατάβασις εἰς τὸν ἔννατον κύκλον.*

*Ἡ γλῶσσ', ἥτις μοι πληγὴν ἔδωκε πρῶτον,
Κἀμφοτέρας παρειὰς ἠρύθρηνέ μοι,
Εἶτ' αὐτὴ πάλιν ἴασίν μοι παρέσχεν.
Οὕτως εἰώθει, καθὰ λόγος, τὸ δόρυ
Ἀχιλλέως καὶ πατρὸς αἴτιον εἶναι
Πρῶτον ὀδύνης, ἀλλ' εἶτα θεραπείας.
Ἐτρέψαμεν τὰ νῶτα πρὸς τὴν κοιλάδα
Τὴν οἰκτράν, ἄνω τῆς συγκυκλούσης ὄχθης,
Ἣν ἐν σιωπῇ διαβαίνοντες ἦμεν.
Ὧδε δ' ἦν ἧττον νυκτός, ἧττόν θ' ἡμέρας,
Ὥστ' οὐ τὰς ὄψεις ἔτεινον ἂν μακράν που·
Ἀλλ' ἤκουσ' ἠχοῦν κέρας ὀξέως οὕτως,
Ὥστε κεραυνοῦ πάταγον ἀποπνίγειν.
Καὶ δὴ πρὸς τοῦ κέρατος στραφεὶς τὸν κρότον,*

Ὅλως ἀπηύθυν' ἐκεῖ τὰς ἐμὰς ὄψεις.
Μετὰ τὴν οἰκτρὰν τροπήν, καθ' ἣν ἀγῶνος
Πανιέρου Κάρολος Μέγας ἐσφάλη,
Οὐ κλαγγὴν δεινὴν τοιάνδ' ἤχησ' Ὀρλάνδος.
Μικρόν τι τὴν κεφαλὴν ἐκεῖσ' ἐπάρας,
Ἐδόκουν ὁρᾷν πολλοὺς ὑψηλοὺς πύργους,
Κ' εἶπον· "Προστάτα, τίς ἔσθ' ἡ πόλις αὕτη;"
Ὁ δὲ πρὸς ἐμέ· "Διότι θέλεις βλέπειν
„ Διὰ τῶν ζόφων μακράν, πέρα τοῦ μέτρου,
„ Συμβαίνει σοι πλανᾶσθαι τὴν φαντασίαν.
„ Ἀλλ' ὄψει καλῶς, ὅταν 'κεῖ προσπελάσῃς,
„ Ὅσον αἴσθησις ἀπατᾶται μακρόθεν.
„ Διὸ σπεῦσον τὸ βῆμα μικρόν τι πρόσω."
Εἶτ' εὐμενῶς τῆς χειρὸς ἐλάβετό μου
Λέγων. "Πρὶν ἡμεῖς προβῶμεν περαιτέρω,
„ Ὅπως τὸ πρᾶγμα ξένον ἧττόν σοι δόξῃ,
„ Ἴσθι Γίγαντας, ἀλλ' οὐχὶ πύργους ὄντας.
„ Ἔγκλειστοι δ' εἰσὶν ἐν τῷ φρέατι πέριξ
„ Τῆς ὄχθης ἀπ' ὀμφαλοῦ καὶ κάτω πάντες."
Ὡς δ' ὅτ' ἄρχετ' ὀμίχλη σκεδαζομένη,

Τὸ βλέμμα διακρίνει βαθμηδὸν ὅ, τι
Ἀτμὸς ὁ πυκνούμενος ἀέρι κρύπτει,
Οὕτως, ἐφ᾽ ὅσον σχίζων τὸ παχὺ νέφος
Καὶ μέλαν βάδην προὐχώρουν πρὸς τὴν ὄχθην,
Ἔφευγ᾽ ἡ πλάνη, προσήγγιζε δ᾽ ὁ φόβος.
Ὡς γὰρ στέφεται πέριξ πύργοις τὸ τεῖχος
Τὸ κυκλοτερὲς τοῦ Μόντος—Ῥεγιῶνος,
Οὕτω τὸ περικυκλοῦν τὸ φρέαρ χεῖλος
Ἐπύργουν πέριξ μέχρι σώματος μέσου
Οἱ φρικώδεις Γίγαντες, οὓς οὐρανόθεν
Ἔτ᾽ ἀπειλεῖ Ζεύς, ἐκ νεφελῶν βροντήσας.
Ἤδη παρετήρησά τινος τὴν ὄψιν,
Ὤμους καὶ στῆθος καὶ γαστρὸς μέγα μέρος,
Καὶ πρὸς τοῖς πλευροῖς τοὺς βραχίονας ἄμφω.
Ὄντως ἡ φύσις, ὅτ᾽ ἔπαυσε τὸν γόνον
Τοιούτων ζώων, καλῶς διενοήθη,
Στερήσασα τὸν Ἄρην τοιούτων ὅπλων.
Εἰ δ᾽ ἐλέφαντας γεννῶσα καὶ φαλαίνας
Οὐ μεταμέλετ᾽, ὀρθῶς φρονοῦσι πᾶσι
Τοῦτο δίκαιον δοκεῖ καὶ πρέπον ἅμα.

Ὅταν γὰρ νοὸς δύναμις συνυπάρξῃ
Τῇ κακεντρεχεῖ τοῦ σώματος ἰσχύϊ,
Ἀμυντήριον οὐδὲν ἀνθρώποις ἔσται.
Ἡ δ' ὄψις αὐτοῦ μακρά μοι καὶ παχεῖα,
Ὡς ὁ Ρώμῃ τοῦ Πέτρου κῶνος, ἐδόκει·
Ἴσης δ' ἀναλογίας ἦν ὀστᾶ τἆλλα·
Ὥστε τὸ χεῖλος, ὅπερ περιεζώννυ
Ἐκ μέσων κάτω, διάστασιν πρὸς τἄνω
Ἐδείκνυ τόσην, ὥστε μέχρι τῆς κόμης
Τρεῖς ἂν ἐπαρκέσειαν Φρίσσονες μόλις·
Τριάκοντα γὰρ σπιθαμὰς κατεμέτρουν
Ἐκ περόνης τῆς χλαίνης ἄχρι τοῦ χείλους.
"Ῥαφὲλ μάϊ ἀαμὲχ ζαβὶ ἀάλμι,"
Ἤρξατο κράζων τὸ θηριῶδες στόμα,
Ἡδίους ψαλμοὺς οὐ δυνάμενον ᾄδειν.
Οὑμὸς δ' Ἡγήτωρ αὐτῷ· "Ψυχὴ παράφρων,
„Ἔχου κέρατος, καὶ δι' αὐτοῦ βουκόλει
„Σαυτόν, ἣν ὀργὴ κινῇ σ' ἢ πάθος ἄλλο·
„Ζήτει περὶ τὸν λαιμόν, καὶ τὸν ἱμάντα,
„Ψυχὴ παραπλήξ, ᾧ δετόν ἐσθ', εὑρήσεις,

„῞Ον βλέπε κυκλοῦντά σου τὸ μέγα στῆθος."
῎Επειτ' εἶπε πρὸς ἐμέ. "Δῆλός ἐσθ' οὗτος·
„Νεμβρώδης ἐστί, δι' οὗ τὴν κακὴν τόλμην
„Οὐ μία μόνη γλῶσσ' ἐν κόσμῳ λαλεῖται.
„᾽Εῶμεν αὐτόν, μηδ' ὁμιλῶμεν μάτην·
„Πᾶσα γὰρ γλῶσσα πρὸς αὐτόν ἐστιν οὕτως,
„῾Ως ἡ τοῦδε πρὸς ἄλλους, ἄγνωστος πᾶσιν."
Εἶτ' ἔτι πρόσω προέβημεν στραφέντες
᾽Επ' ἀριστερά, καὶ μέχρι βολῆς τόξου
Εὕρομεν ἄλλον φρικτότερον καὶ μείζω.
Τίς ὁ Κύριος, ὁ τόνδ' ὧδε δεσμεύσας,
Εἰπεῖν οὐκ ἔχω· πλὴν προσδέτους τὰς χεῖρας
Εἶχε, τὴν μὲν ἔμπροσθεν, τὴν δ' αὖ ὀπίσω,
᾽Αλύσει, δι' ἧς ὢν ἐκ λαιμοῦ καὶ κάτω
Πεπεδημένος, τἀσκεπὲς εἶχε μέρος
Τοῦ σώματος πεντάκις ἀμφειλιγμένον.
"῏Ηθελ' ὁ παράτολμος ὅδ' ἀντιτάξαι
„Τὴν ἰσχὺν αὐτοῦ κατὰ Διὸς μεγίστου,"
Εἶπεν οὑμὸς ῾Ηγήτωρ, "ὅθεν ἡ τίσις.
„᾽Εφιάλτης τοὔνομα· μεγάλα δ' ἔργα

„Ἔπραξ' ἐν τῇ πρὸς θεοὺς Γιγάντων μάχῃ·
„Δετὰς δ' ἔχει τὰς χεῖρας, ἃς ποτ' ἐκίνει."
Κἀγὼ πρὸς αὐτόν· "Εἰ δυνατόν, ἐπόθουν
„Ἰδέαν Βριάρεω τοῦ πελωρίου
„Ἔχειν ἀκριβῆ τινα τὰς ἐμὰς ὄψεις."
Ὁ δ' ὑπέλαβεν· "Ὄψει δὴ τὸν Ἀνταῖον
„Ἐγγὺς ὧδ' ὁμιλοῦντα καὶ λυτὸν ὄντα,
„Ὃς εἰς ἀβύσσου τὸν βυθὸν ἡμᾶς ἄξει·
„Ὃν δ' ἰδεῖν ποθεῖς, ἔστ' ἐκεῖ πορρωτέρω·
„Δέσμιος δ' ἐστὶ καὶ παρόμοιος τούτῳ,
„Πλὴν θηριωδέστερος ὡς πρὸς τὴν ὄψιν."
Οὔποτε σεισμὸς ὡς μάλιστα φρικώδης
Πύργον διεκλόνησεν οὕτω βιαίως,
Ὡς ὅτ' ἐξαίφνης ἐσάλευσ' Ἐφιάλτης.
Τότ' ἔσχον, ὡς οὔποτε, θανάτου τρόμον,
Καὶ τοῦτ' ἂν ἐξήρκεσε πρὸς τὸ θανεῖν με,
Εἰ μὴ δέσμιον ἁλύσεσιν ἑώρων.
Εἶτα προβάντες εἰσέτι περαιτέρω
Ἤλθομεν παρ' Ἀνταῖον, ἔχοντα πήχεις
Πέντε, κεφαλῆς ἄνευ, φρέατος ἔξω.

“Ὦ σὺ φίλ', ὅς ποτ' ἐν εὐμοίρῳ κοιλάδι,
„Ἔνθα Σκιπίων ἤρατο μέγα κλέος,
„Ὁπότ' ἔτρεψεν αὐτῷ τὰ νῶτ' Ἀννίβας,
„Ἤνεγκας δὴ χιλίων λεόντων λείαν·
„Εἰ δ' ἐν τῷ δεινῷ πολέμῳ σὺ παρῆσθα
„Τῶν σῶν ἀδελφῶν, ὡς πᾶς ἔτι νομίζει,
„Βεβαίως ἂν ἐνίκων οἱ τῆς Γῆς παῖδες·
„Καταβίβασον ἡμᾶς (μὴ δ' ἀρνηθείης)
„Ἔνθ' ὁ παγετὸς τὸν Κωκυτὸν σκληρύνει·
„Μὴ δ' εἰς Τιτυὸν ἡμᾶς ἄγ' ἢ Τυφῶνα.
„Κλῖνον δή, καὶ μὴ τὰς ὄψεις ἀποστρέψῃς.
„Οὗτος, ὃ ποθεῖς ὧδε, δύναται δοῦναι,
„Ἔτι σοι φήμην ἐν τῷ κόσμῳ παρέχων·
„Ζῇ γάρ, καὶ μακρὸν βίον εἰσέτ' ἐλπίζει,
„Ἢν μὴ καλέσῃ πάρωρον Θεία χάρις.”
Ταῦτ' εἶπεν ὁ Προστάτης· αὐτὸς δὲ σπεύσας
Ἔλαβ' Ἡγήτορά μου, χεῖρας ἐκτείνας,
Ὧν Ἡρακλῆς τὸν δεινὸν δραγμὸν ᾔσθάνθη.
Βιργίλιος δ' ἑαυτὸν ἰδὼν ληφθέντα
Εἶπέ μοι· “Πρόσελθ' ἐγγύς, ἵνα σε λάβω·”

Καὶ σύμπλεγμ' ἓν ἐποίησ' αὑτοῦ τ' ἐμοῦ τε.
'Ως δοκεῖ τῷ βλέποντι τὴν Καρισένδαν
'Εξ οὗπερ νεύει μέρους, ἐπ' αὐτῆς νέφους
Βαίνοντος, ὅτι κατεναντίον ῥέπει,
Οὕτω πως ἐδόκει μοι ῥέπειν 'Ανταῖος,
Αὐτὸν βλέποντι, καὶ τῇ στιγμῇ δὴ 'κείνῃ
Δι' ἄλλης ὁδοῦ προῃρούμην ἰέναι.
'Αλλ' εἰς τὸν βυθὸν ἡμᾶς ἔθηκ' ἠπίως,
Ὃς 'Εωσφόρον κ' 'Ιούδαν καταδάπτει·
Οὐδ' ἐπὶ μακρὸν ἔμεινεν οὕτω κλίνων,
'Αλλ' ὡς ἱστὸς τῆς νηὸς εὐθὺς ὠρθώθη.

ΩΔΗ ΛΒ′.

Ὁ Κωκυτὸς ἢ λίμνη τοῦ παγετοῦ.—Ἡ Καΐνα.—
Ἡ Αντήνειρα.—Οἱ Προδόται.

Εἰ τοὺς στίχους βραγχώδεις καὶ στρυφνοὺς εἶχον,
Ὡς βαράθρῳ γοερῷ τοιῷδ' ἁρμόζει,
Ἐφ' οὗπερ πάντες οἱ λοιποὶ κρημνοὶ κεῖνται,
Τὴν διάνοιαν τὴν ἐμὴν ἂν ἐδήλουν
Πληρέστερον· ἀλλ' ὡς ὢν ἐλλιπὴς τούτου,
Οὐκ ἄνευ δέους ἄρχομαι νῦν τοῦ λόγου·
Οὐ γὰρ εὐχερὲς ἔργον ἢ παιδιά τις
Περιγράψαι πᾶν τοῦ Σύμπαντος τὸ βάθος
Γλώσσῃ δὴ τραυλιζούσῃ Μάμμα καὶ Πάππα.
Ἀλλ' εἴησάν μοι βοηθοί γ' αἱ Παρθένοι,
Ὡς Ἀμφίονι τειχιστῇ Θηβῶν ἦσαν,
Ἵν' οἱ λόγοι μὴ φανῶσ' ἥττονες τοὔργου.—
Ὦ κατάρατος φυλὴ πρὸ πασῶν ἄλλων,
Ἥτις ἐν δυσφάτῳ τῷδ' ἔγκεισαι τόπῳ·

Κρεῖττον ἦν ὑμᾶς εἶναι πρόβατα κ' αἶγας.—
Εἰς τὸ ζοφερὸν κατέβημεν δὴ φρέαρ,
Ὑπὸ Γίγαντος πόδας καὶ πλέον κάτω·
Κἀγὼ θεωρῶν ἔτι τὸ τείχους ὕψος
Ἤκουσά του λέγοντος· "Ὅρα πῶς βαίνεις·
„ Πρόσεχε δὴ μὴ τοῖς σοῖς ποσὶ συνθλάσῃς
„ Τὰς κεφαλὰς ἀδελφῶν πολυτλημόνων."
Στραφεὶς δ' εἶδον ἔμπροσθεν ἐμοῦ καὶ κάτω
Τῶν ποδῶν λίμνην, ἐκ τοῦ πάγους ὑέλῳ
Μᾶλλον ἤπερ ὕδατι παραπλησίαν.
Οὔποτε παχύτερος πέπλος χειμῶνος
Δουνάβεως ῥοῦν ἐκάλυψ' ἐν Αὐστρίᾳ,
Οὔτε Τάναϊν ὑπ' αἰθέρα κρυμώδη,
Οἷος ἐνταῦθ' ἦν· εἰ γὰρ ἔπιπτεν ὧδε
Τὸ Ταβέρνικον, εἴτ' Ἀπουάνα Πέτρα,
Οὔτε τὸ τῆς πλακὸς ἂν ἔκρικεν ἄκρον.
Ὥσπερ δὲ κρώζων ὁ βάτραχος τὸ ῥύγχος
Ἔχει τῆς λίμνης ἐκτός, ὅτε κατ' ὄναρ
Σταχυολογεῖν δοκεῖ ποθ' ἡ χωρῖτις,
Οὕτως αἱ σκιαὶ πελιδναὶ καὶ γοώδεις

Μέχρι παρειῶν ἦσαν ἐντὸς τοῦ πάγου,
Ὀδόντας πλαταγοῦσαι πελαργῶν δίκην.
Τὴν ὄψιν εἶχεν ἑκάστη πρὸς τὰ κάτω·
Ἐκ στόματος τὸ ψῦχος, ἀπὸ δ' ὀμμάτων
Ἡ τῆς καρδίας θλίψις ἐμαρτυρεῖτο.
Μικρόν τι πέριξ τὰς ὄψεις τείνας, κᾆτα
Πρὸς πόδας, εἶδον δύο πλησίον οὕτως,
Ὥστε συμμεμιγμένας εἶχον τὰς κόμας.
"Ὑμεῖς οἱ στήθη σφίγγοντες, εἴπατέ μοι,"
Ἔκραξα, "τίνες ἐστέ;" Τότ' οὖν αὐχένας
Κάμψαντες, ἀνέτειναν πρός με τὸ βλέμμα·
Τὰ δ' ὄμματ' αὐτῶν, ὑγρὰ πρὶν ἔνδον ὄντα,
Ἔσταζον ἐκ βλεφάρων· εἶτα δ' ὁ πάγος
Τὰ δάκρυα συμπήξας ἔκλεισε πάλιν.
Οὔποτ' ἔσφιγξε γόμφος ξύλον σὺν ξύλῳ
Οὑτωσὶ σφοδρῶς· ὅθεν, ὡς δύο τράγοι,
Ἀλλήλους συνέκρουον· τόσον ἐλύσσων!
Καί τις, ὃς ὤτων ἐστέρητ' ἀμφοτέρων
Ὑπὸ τοῦ ψύχους, κλίνων τὴν ὄψιν κάτω
Εἶπε· "Τί βλέπεις ἡμᾶς, ὡς ἐν κατόπτρῳ;

„ Εἰ θέλεις μαθεῖν, τίνες οἱ δύο 'κεῖνοι,
„ Ἡ κοιλάς, ἔνθεν Βισέντιον ἐκρέει,
„ Ὑπέκειτ' αὐτοῖς πατρί τ' αὐτῶν 'Αλβέρτῳ.
„ Μιᾶς ἐξῆλθον γαστρός· Καΐναν δ' ὅλην
„ Ἢν περιέλθῃς, σκιὰν οὐκ ἂν εὑρήσοις
„ 'Αξιωτέραν πυκτὴν γενέσθ' ἐν πάγῳ·
„ Οὐ τὸν στῆθος καὶ σκιὰν διαπαρέντα
„ Ἑνὶ βλήματι διὰ χειρὸς 'Αρθούρου,
„ Οὐ Φωκακκίαν, οὐ τὸν ἀπείργοντά με
„ Τῷ τῆς κεφαλῆς ὄγκῳ προσβλέπειν πέραν,
„ Καλούμενον δὲ Σάσολιν Μασκερώνην.
„ Εἰ σὺ Τοῦσκος εἶ, καλῶς, τίς ποτ' ἦν, οἶσθα·
„ Ἵν' εἰς ἀνάγκην μὴ μ' ἄγῃς πλείω λέγειν,
„ Ἴσθι νῦν μ' ὄντα Καμικίονα Πάζον·
„ Πρὸς συγγνώμην μου περιμένω Καρλῖνον."
Εἶτα πρόσωπα χίλι' εἶδον ἰώδη
'Εκ ψύχους πάντα· φρίκην δέ μοι παρέχει,
Παρέξει τ' ἀεί, τῆς λίμνης τῆσδ' ἡ μνήμη.
'Εν ᾧ δ' ἐβαδίζομεν ἐπι τὸ μέσον,
Πρὸς ὅπερ ἐπιῤῥέπει βαρύτης πᾶσα,

Ἐγὼ δ' ἔτρεμον ἐν αἰωνίῳ ζόφῳ,
Ἢ θέλησις ἦν, ἢ σύμπτωσις, ἢ τύχη,
Οὐκ οἶδ', ἀλλ' ἐν κεφαλῶν μέσῳ προβαίνων
Τῷ ποδί τινος προσέκρουσα τὴν ὄψιν·
Ὁ δὲ κλαίων ἔκραξε· "Τί μ' ἐπικρούεις;
„ Εἰ μὴ τὴν ἐκδίκησιν αὐξήσων ἦλθες
„ Τοῦ Μονταπέρτου, τί σύ με βασανίζεις;"—
Καγώ· "Προστάτα, πρόσμενέ με νῦν ὧδε,
„ Ἵν' ἀπορίαν τὴν περὶ τούτου λύσω·
„ Εἶτα δέ μ' ἐπισπεύσεις ὅπως ἂν βούλῃ."
Ἔστη μὲν ὁ Προστάτης· ἐγὼ δὲ τότε
Ἶπον τῷ πικρῶς ἔτι με βλασφημοῦντι·
"Τίς οὖν εἶ σύ, τοὺς ἄλλους οὕτω προσβάλ-
λων;"
—"Ἀλλὰ σὺ τίς εἶ, βαίνων δι' Ἀντηνείρας,
„ Κρούων τ'," ἐπεῖπε, "τὰς παρειὰς τῶν ἄλλων,
„ Ὥστε, κἂν ζῶν ᾖς, ὑπεράγαν ἂν εἴη;"—
—"Ἐγὼ ζῶν εἰμί, καί σοι χαρίεν ἔσται,"
Ὑπέλαβον, "εἰ φήμην ἀγαπᾷς, ὅπως
„ Ἐν ᾠδαῖς ἐμαῖς μνήσωμ' ὀνόματός σου."

Ὁ δὲ πρὸς ἐμέ· “Τοὐναντίον ἐπόθουν·
„Ἄπιθ' ἐντεῦθεν, μὴ δέ με βλάπτε πλέον·
„Κακῶς οἶδας θωπεύειν ἐν βόθρῳ τῷδε.”—
Αὐτὸν δὴ τότε τῆς χαίτης ἐλαβόμην
Λέγων· “Ἀνάγκη τὸ σὸν ὄνομ' εἰπεῖν μοι·
„Ἄλλως, οὐ μενεῖ θρὶξ ἐπὶ κεφαλῆς σου.”
Ὁ δ' εἶπεν· “Ἐπεὶ τὴν κόμην μ' ἀποτίλλεις,
„Οὐκ ἐρῶ σοι, τίς εἰμι, κοὐδέν σοι δείξω,
„Κἂν χιλιάκις τὴν κεφαλήν μοι παίσῃς.”—
Εἶχον δ' ἐν χειρὶ τὰς τρίχας εἰλιγμένας,
Καὶ μαλλοὺς οὐκ ὀλίγους ἀπεσπασμένους,
Αὐτοῦ σὺν στροφαῖς ὀμμάτων ὑλακτοῦντος,
Ὅτ' ἄλλος τις ἔκραξε· “Τί πάσχεις, Βόκκα;
„Οὐκ ἀρκεῖ σοι πλαταγεῖν τὰς σιαγόνας
„Ὑλαγμῶν ἄνευ; Τίς σε πιέζει Δαίμων;”
—“Νῦν,” ὑπέλαβον, “οὐ θέλω λαλεῖν σ' ἔτι,
„Κατάρατε προδότα· πρὸς σὴν δ' αἰσχύνην
„Κομιῶ τὰς σὰς ἀληθεῖς ἀγγελίας.”
Ὁ δ' εἶπ'· “Ἄπιθι, διηγοῦ τ' εἴ τι θέλεις·
„Ἀλλὰ μὴ παραλίπῃς, ἤν ποτ' ἐξέλθῃς

„ Ἐντεῦθεν, τὸν ἄθυρον δείξαντα γλῶσσαν.
„ Ὧδ' οὗτος κλαίει τἀργύριον τῶν Γάλλων."
' " Εἶδον," ' εἰπεῖν δύνασαι, ' " τὸν Δαδουέραν,
' „ Ἔνθ' ἁμαρτωλοὶ ψυχροὶ διατελοῦσιν." '
„ Ἢν δ' ἐρωτηθῇς, τίνες ἄλλοι συνῆσαν,
„ Ἔχεις ἐγγύς σου τὸν Βεκκερίαν, οὗπερ
„ Τὸν λαιμὸν ἀπέτεμεν ἡ Φλωρεντία.
„ Γιάννην Σολδανεῖρον μικρὸν πρὸς οἶμαι
„ Εἶναι σὺν Γανελλῶνι καὶ Τριβαλδέλλῳ,
„ Ὃς ἠνέῳξε νυκτὸς τὴν Φαυεντίαν."—
Τὴν σκιὰν ἡμῶν ἤδη λιπόντων ταύτην,
Εἶδον ἐν ὀπῇ δύο πεπαγωμένους,
Ὧν ἑνὸς ἡ κεφαλὴ πρὸς τὴν θἀτέρου
Ἦν ὡς πῖλός τις· ὡς δ' ἐκ πείνης τις δάκνει
Τὸν ἄρτον, οὕτως ἔπηξ' αὐτὸς ὀδόντας
Μέσον αὐχένος κἀγκεφάλου θἀτέρου.
Οὐκ ἄλλως Τυδεὺς λυσσῶν τοὺς Μελανίππου
Ἐτραγάλισε κροτάφους, ἧπερ οὗτος
Τό τε κρανίον κατέτρωγε καὶ τἄνδον.
" Ὦ σύ, δεικνύων τοιῷδε θηρὸς τρόπῳ

„ Μῖσος πρὸς ὃν νῦν καταβιβρώσκεις ὧδε,"
Εἶπον, " λέγε μοι τὴν αἰτίαν, ἐφ' ὅρῳ
„ Ὡς, αὐτὸν εἴ τι δικαίως ἐπιμέμφῃ,
„ Γνούς, τίνες ἐστέ, καὶ τἀδίκημα τούτου,
„ Ἀποδώσω σοι δίκην ἐν ζώντων κόσμῳ,
„ Ἢν μὴ ξηρανθῇ γλῶσσ' ἥδ', ᾗ φθέγγομαί σοι."

ΩΔΗ ΛΓ΄.

Συνέχεια.—Οὐγολῖνος.—Ἡ Πτολεμαία.—Ἀλβερίγος.—Βράγκας Δορίας.

Ὁ δ' ἁμαρτωλὸς τὸ στόμ' ἐκ τῆς φρικώδους
Βορᾶς ἐξάρας, ἀπομαξάμενός τε
Ταῖς θριξὶν οὗπερ κατέδακνε κρανίου,
Ἤρξατο λέγων· "Θέλεις μ' ἀνανεῶσαι
„ Τὸ τὴν καρδίαν θλίβον μου δεινὸν ἄλγος
„ Τῇ μνήμῃ μόνῃ, πρὶν ἂν λόγοις ἐκφράσω.
„ Ἀλλ' εἰ μέλλουσ' οἱ 'μοὶ λόγοι παρέξειν
„ Ὡς καρπὸν αἶσχος ᾧ βιβρώσκω προδότῃ,
„ Ἅμα λέγοντος καὶ θρηνοῦντος ἀκούσῃ.
„ Οὐκ οἶδα, τίς εἶς, ἀλλ' οὔτε πῶς κατῆλθες
„ Ἐνθάδ'· ὅμως μοι δοκεῖς ὢν Φλωρεντῖνος
„ Ὄντως, ὡς ἐκ λαλιᾶς τῆς σῆς εἰκάζω.

„ Κόμητά μ' Οὐγολῖνον ἴσθι ποτ' ὄντα.
„ 'Αρχιεπίσκοπος δ' ἔσθ' ὅδε 'Ρουγείρης·
„ 'Ερῶ σοι δὲ νῦν, πῶς ὧδ' εἶμ' αὐτῷ γείτων.
„ 'Ως ταῖς πονηραῖς αὐτοῦ βουλαῖς ὑπείκων
„ Καὐτῷ πίστιν δούς, συνελήφθην χὐπέστην
„ Εἶτα θάνατον, λέγειν οὐκ ἔστι χρεία.
„ 'Αλλ' ὅπερ ἴσως οὐκ ἤκουσας εἰσέτι,
„ Ὅσον δὴ σκληρὸς ὑπῆρξ' ὁ θάνατός μου,
„ Λέξω, καὶ γνώσῃ, πόσον ἠδίκησέ με.
„ Μικρόν τι διαύγιον τῆς εἱρκτῆς ἔνδον,
„ Ἔκτοτ' ἀπ' ἐμοῦ καλουμένης τ ῆ ς π ε ί ν η ς,
„ Ἔνθ' ἔτι καθειρχθῆναι προσήκει κἄλλους,
„ Διὰ τῆς ὀπῆς ὁρᾷν ἐπέτρεψέ μοι
„ Πολλὰς σελήνας, ὅτ' εἶδον κακὸν ὄναρ,
„ Τὸν τοῦ μέλλοντος διασχίσαν μοι πέπλον.
„ 'Εφάνη μοί τις αὐθέντης καὶ δεσπότης
„ Θηρεύων λύκον καὶ λυκιδεῖς πρὸς ὄρος,
„ Ὅπερ κωλύει Πισαίους ὁρᾷν Λοῦκαν.
„ Κυσὶ καλῶς ἀχθείσαις, ἰσχναῖς καὶ λάβραις
„ Οἱ Γουαλάνδοι, Σισμόνδαι καὶ Λαμφράγκοι

„Ἔτρεχον διώκοντες ἐπὶ μετώπου.
„Μικρῷ δ' ὕστερον ἐδόκουν κεκμηκότες
„Πατὴρ καὶ τέκνα, καὶ τοὺς ὀξεῖς ὀδόντας
„Ἔβλεπον αὐτῶν σχίζοντας τὰς λαγόνας.
„Ὅτε δ' ἠγέρθην ἐκ κοίτης πρὸ τῆς ἕω,
„Κλαίοντ' ἤκουσα τὰ πεφυλακισμένα
„Μετ' ἐμοῦ τέκν' ἐν ὕπνοις, κἆρτον αἰτοῦντα.
„Σκληρὸς ἂν εἴης, εἰ μή μοι δὴ συνάχθῃ,
„Σκοπῶν, οἷ' ἐν καρδίᾳ συνῃσθανόμην·
„Εἰ δὲ μὴ κλαίεις, πότ' ἆρ' εἴωθας κλαίειν;
„Ἀνηγέρθησαν ἤδη, κἀγγὺς ὑπῆρχεν
„Ὁ καιρός, καθ' ὃν ἔφερον τὰ πρὸς βρῶσιν·
„Ἕκαστος δ' ἡμῶν τοὔναρ εἶχ' ἐν νῷ τρέμων,
„Ὅτ' ἤκουσ' ὑπ' ἔμ' ἡλουμένην τὴν θύραν
„Τοῦ φρικαλέου πύργου. Σιωπῶν τότε
„Εἶδον εἰς τὸ πρόσωπον τῶν ἐμῶν τέκνων·
„Οὐ μὴν ἔκλαυσ', ἀλλ' ἔνδον ἀπελιθώθην.
„Αὐτὰ δ' ἔκλαιον· ὁ δ' Ἀνσελμούκιός μου
„Εἶπε· ' "Πῶς βλέπεις οὕτω, πάτερ; τί πάσχεις;" '

„ Οὐκ ἐδάκρυσ᾽, ἀλλ᾽ οὔτ᾽ ἀπεκρινάμην
„ Ἡμέραν ὅλην, οὔτ᾽ ἐπιοῦσαν νύκτα,
„ Μέχρις ἥλιος ἐπανέτειλ᾽ ἐν κόσμῳ.
„ Μικρᾶς δ᾽ ἀκτῖνος τότ᾽ ἔνδον παρεισδύσης
„ Τῆς φρικτῆς εἱρκτῆς, εἶδον ἐν τοῖς προσώποις
„ Τῶν τεσσάρων τὴν ἐμὴν ἀθλίαν ὄψιν.
„ Ἐκ λύπης ἔδακόν μου τὰς χεῖρας ἄμφω·
„ Οἱ δ᾽ ἐμοὶ παῖδες ὑπολαβόντες τοῦτο
„ Ὡς πείνης ὁρμὴν ἀνέστησαν ἐξαίφνης,
„ Λέγοντες· ‘ “ Ἧττον ἀλγεινὸν ἡμῖν ἔσται,
‚ „ Ἢν φάγῃς ἡμῶν· σὺ γὰρ ὁ δοὺς τὰς σάρκας
‚ „ Τάσδ᾽ οἰκτρὰς ἡμῶν, σὺ λάβε ταύτας πάλιν.” ’
„ Τότ᾽ ἐπραΰνθην, ὡς μὴ πλέον λυπήσω.
„ Ἦμεν σιγηλοὶ ᾽κείνην ἡμέραν κἄλλην.
„ Αἴ! γῆ σκληρά, πῶς οὐκ ἀνεῴχθης τότε;
„ Ἀνατειλάσης τῆς τετάρτης ἡμέρας,
„ Γάδδος μοι πρὸ τῶν ποδῶν ἔπεσ᾽ ἐκτάδην,
„ Λέγων πικρῶς· ‘ “ Ὦ πάτερ, οὐ βοηθεῖς μοι;” ’
„ Ἀπέθαν᾽ ἐκεῖ, καί, καθὼς νῦν με βλέπεις,
„ Εἶδον πεσόντας τοὺς τρεῖς ἄλλους καθ᾽ ἕνα

„ Ἐντὸς τῆς πέμπτης καὶ τῆς ἕκτης ἡμέρας.
„ Ἐψηλάφων ἕκαστον τυφλὸς ὢν ἤδη·
„ Ἐφ' ἡμέρας τρεῖς θανόντας ἀνεκάλουν·
„ Ἡ πεῖν' ἔπειτα κατίσχυσε τῆς λύπης."—
Ταῦτ' εἰπών, λοξοῖς ὄμμασι τὸ παντάλαν
Κρανίον πάλιν ἔλαβεν, ἐπιδάκνων
Τοὐστοῦν ὀδάξ, ὅμοιος κυνὶ λυσσώδει.
Αἴ! Πίσα τάλαιν', ὄνειδος τῶν κατοίκων
Τῆς ὡραίας ἔνθ' ἠχεῖ τὸ Σὶ δὴ χώρας!
Ὡς σῶν γειτόνων τιμωρεῖν σ' ἀμελούντων,
Κινηθήτω Γοργόνη καὶ Καπραρία,
Καὶ τὸ στόμιον ἐμφραξάτωσαν Ἄρνου,
Ἵνα καταπνίξῃ σου κατοίκους πάντας.
Εἰ γὰρ ἔνοχος ὁ Κόμης Οὐγολῖνος
Ἦν, ὡς ἀπίστως προδοὺς τὰ φρούριά σου,
Οὐκ ἔδει σ' οὕτω κολάζειν αὐτοῦ παῖδας·
Ἐποίει γὰρ ἀθώους, ὦ νέαι Θῆβαι,
Ἡ νεότης Βριγάναν κ' Οὐγουκιῶνα,
Τοὺς δύο τ' ἄλλους, ὧν πρότερον ἐμνήσθην.
Πρόσω χωροῦντες ἤλθομεν ἔνθ' ὁ πάγος

Τραχέως ψυχὰς περιζώννυσιν ἄλλας,
Μὴ κυπτούσας κάτω, πλὴν οὔσας ὑπτίας.
Ἐκεῖ τὰ δάκρυ' οὐκ ἐπιτρέπει κλαίειν·
Ἡ λύπη δ' ἐξ ὀμμάτων οὐ διιοῦσα,
Στρέφει πρὸς τἄνδον, καὔξει τὴν ἀγωνίαν.
Συμπυκνοῦται γὰρ τὰ δάκρυα τὰ πρῶτα,
Καὶ δίκην κρυσταλλίνων διόπτρων ἅπαν
Τὸ κάτω κενὸν ἐκπληροῖ τῶν ὀφρύων.
Καί τοι δέ μου τὸ ψῦχος ἀποναρκῶσαν,
Ὥσπερ ἐν τύλῳ νενεκρωμένῳ, πᾶσαν
Αἴσθησιν ἀφῄρεσεν ἐκ τοῦ προσώπου,
Ὅμως αἰσθάνεσθ' ἄνεμόν τιν' ἐδόκουν.
Διό, "Προστάτα, τί τὸ κινοῦν τοῦτ';" εἶπον.
"Οὐκ ἐξέλιπε πᾶς ἀτμὸς ὧδε κάτω;
Ὁ δὲ πρὸς ἐμέ· "Ταχέως νῦν ἀφίξῃ
"Ἔνθ' ἀπόκρισιν τὸ σὸν ὄμμα σοι δώσει,
"Βλέποντι τὸ προξενοῦν ἄνεμον τόνδε."
Εἷς δὲ τῶν ἐν τῷ πάγῳ βεβυθισμένων
Ἔκραξ'· "Ὦ ψυχαὶ παντὸς ἐνδεεῖς οἴκτου,
"Ὥστ' ἐν ἐσχάτῳ παρεπέμφθητε βόθρῳ,

“ Τὰς καλύπτρας ἐξ ἐμῶν ἄρατ' ὀμμάτων,
„ Ἵνα κουφισθῶ τῆς ἐν καρδίᾳ λύπης
„ Μικρόν, πρὶν πάλιν καταπαγῇ τὸ δάκρυ.”—
Κἀγώ· “ Παρ' ἐμοῦ βοήθειαν εἰ θέλεις,
“ Φράσον μοι, τίς εἶς· ἢν δὲ μή σ' ἀπαλλάξω,
“ Ῥιφθείην ἐν τῷ βυθῷ τοῦ πάγου τοῦδε.”
Ὁ δ' ὑπέλαβε· “ Φράτηρ εἴμ' Ἀλβερίγος,
“ Ὁ τῶν ὀπωρῶν τοῦ θανασίμου κήπου·
“ Λαμβάνω δ' ὧδε φοίνικας ἀντὶ σύκων.”
Εἶπον αὐτῷ· “ Πῶς ; ἀπέθανες οὖν ἤδη ;”
Ὁ δὲ πρὸς ἐμέ· “Τί μου τὸ σῶμ' ἀπέβη
„ Ἐπὶ γῆς οὐδεμίαν αἴσθησιν ἔχω.
„ Προτέρημα τοῦτ' ἔστι τῆς Πτολεμαίας,
„ Ὅτι συχνάκις ἐνθάδ' ἡ ψυχὴ πίπτει,
„ Πρὶν Ἄτροπος τὸ νῆμα τῆς ζωῆς τάμῃ.
„ Ἀλλ' ἵνα μ' ἀπαλλάξῃς προθυμοτέρως
„ Τῶν πεπηγότων δακρύων τοῦ προσώπου,
„ Ἴσθ' ὅτι καθ' ἣν στιγμὴν προδῷ ψυχή τις,
„ Ὡς ἔπραξ' ἐγώ, ταύτης τὸ σῶμα δαίμων
„ Ἁρπάζει, φέρων αὐτὸ μέχρις ὁ χρόνος

„ Αὐτοῦ συνεκπληρωθῇ παντελῶς ὅλος·
„ Αὐτὴ δ' ἐν τοιῷδ' ἐγκυλίεται λάκκῳ.
„ Ἴσως δ' ἔτ' ἄνω φαίνεται ζῶν τὸ σῶμα
„ Τῆς φρικιώσης σκιᾶς ὧδ' ὄπισθέν μου.
„ Δεῖ δέ σ' εἰδέναι τοῦτ', εἴ γ' ἄνωθεν ἥκεις·
„ Κὺρ-Βράγκας ἐστὶ Δορίας, κοὐ πόλλ' ἔτη
„ Παρῆλθ' ἀφ' ὅτου τῷδ' ἐν βόθρῳ καθεῖρκται."—
—" Δοκεῖς μοι θέλων," εἶπον, " ἐξαπατᾷν με
„ Οὐ γὰρ ἔθαν', ἀλλὰ ζῇ Βράγκας Δορίας,
„ Τρώγων, πίνων, ὑπνώττων, φορῶν ἐσθῆτας."—
Ὁ δ' εἶπεν· " Ἐν τῷ βόθρῳ τῶν Κακωνύχων
„ Ὕπερθεν, ἔνθα βράζει γλοιώδης πίσσα,
„ Οὐκ ἦν ἔτ' ἀφιγμένος Μιχαὴλ Ζάγκης,
„ Ὅτ' ἀνθ' ἑαυτοῦ δαίμον' οὗτος ἀφῆκεν
„ Ἐν ἑαυτοῦ σώματι, συγγενοῦς τ' ἄλλου,
„ Προδοσίαν μετ' αὐτοῦ κατεργασθέντος.
„ Ἀλλ' ἄγε δὴ νῦν ἔκτεινόν μοι τὴν χεῖρα·
„ Ὄμματ' ἄνοιξον . . ." Οὐκ ἀνέῳξα μέντοι·
Περιφρονῶν γὰρ αὐτὸν πρόφρων ἐδόκουν.—
Αἴ! Γενεάται, γενεὰ διαστρόφων

Ἠθῶν, καὶ πάσης κακίας ὄντες πλήρεις!
Πῶς οὐκ ἐστὲ τοῦ κόσμου δεδιωγμένοι;
Σὺν πνεύματι γὰρ κακίστῳ Ῥωμανίας
Εὗρον ἐξ ὑμῶν τινα διὰ κάκ' ἔργα
Τὴν ψυχὴν ἔχοντ' ἐν τῷ Κωκυτοῦ πάγῳ,
Οὗ τὸ σῶμ' ἔτι φαίνεται ζῶν ἐν κόσμῳ.

ΩΔΗ ΛΔʹ.

Ἡ Ἰουδαϊκή.—Ἑωσφόρος.—Ἰούδας Σκαριώτης.—
Βροῦτος καὶ Κάσσιος.—Ἔξοδος τοῦ Ἅδου.

"Ἄνακτος Ἅδου σήματ' ἔξεισι πρόσω
„Ἡμῶν ἔναντι· βλέπε νῦν ἔμπροσθέν σου,"
Εἶπεν οὑμὸς Προστάτης, "εἰ διακρίνεις."
Ὡς δ' ὅτ' ὀμίχλη πυκνὴ τὴν γῆν καλύπτει,
Ἢ νὺξ κάτεισιν ἐφ' ἡμετέρου πόλου,
Φαίνετ' ἄποθεν στρεφόμενος ἀνέμῳ
Μυλών, οὕτω τότ' εἶδον κινούμενόν τι
Καὶ διὰ τὸν ἄνεμον ἔστην ὀπίσω
Τοὐμοῦ Προστάτου, μηδὲν ἄλλ' ἔρυμ' ἔχων.
Ἀφικόμην δή (φόβῳ δ' ἐν μέτροις γράφω),
Ἔνθ' ἐπισκεπεῖς ἦσαν αἱ σκιαὶ πᾶσαι
Καὶ διαφανεῖς, ὡς ἔμβρυ' ἐν ὑέλῳ.
Αἱ μὲν μένουσ' ὑπτίως, αἱ δ' ὀρθοστάδην,
Αἱ δ' ἐπὶ ποδῶν, ἐπὶ κεφαλῆς ἄλλαι,

Καί τις πρὸς πόδας στρέφουσ' ὄψιν, ὡς τόξον.
Ὅτε δὲ προέβημεν ἀρκούντως πρόσθεν,
Ἔνθ' ἤρεσ' ἐμὸν Προστάτην ἐμοὶ δεῖξαι
Τὸ περικαλλὲς ὑπάρξαν ποτὲ πλάσμα,
Ὑπεχώρησεν ἀπ' ἔμπροσθέν μου, καί με
Ἐπισχὼν εἶπ'· "Ἰδοὺ Δίς, ἴδε τὸν τόπον,
„Ὅπου σε θάρσει περιφραχθῆναι πρέπει."
Ὡς δ' ἐγενόμην ῥιγῶν, ἐπτοημένος,
Ἀναγνῶστα, γράψαι σοι νῦν με μὴ θέλε·
Πᾶς μου γὰρ λόγος ἀνίκανος ἂν εἴη.
Οὐκ ἤμην νεκρὸς οὔτε ζῶν· νῦν δὴ σκέψαι
Ἀπὸ σεαυτοῦ, κἂν νοῦν ὀλίγον ἔχῃς,
Οἷος ἄνευ θανάτου καὶ ζωῆς ἤμην.
Ὁ τῶν Κλαυθμώνων τοῦ Κράτους Αὐτοκράτωρ
Ἐκ μέσου στήθους ἐξήρχετο τοῦ πάγου.
Παρέβαλλον δ' ἐμαυτὸν γίγαντι μᾶλλον
Ἢ γίγανθ' ἑνὶ τῶν αὐτοῦ βραχιόνων.
Κρῖνον νῦν ἐκ τοῦ μέρους, ὁποῖον εἶναι
Τὸ πᾶν σῶμ' αὐτοῦ κατὰ σύγκρισιν ἔδει.
Εἰ δ' ἦν εὐειδὴς ὅσον εἰδεχθὴς ἤδη,

Καὶ πρὸς τὸν πλάστην αὐτοῦ κέρας ἀντῆρεν,
Ὄντως ἐξ αὐτοῦ πηγάζειν δεῖ πᾶν ἄχθος.
Ὦ, πόσον τότ᾽ ᾐσθάνθην θαυμασμὸν μέγαν,
Ἐπὶ κεφαλῆς αὐτοῦ τρεῖς ἰδὼν ὄψεις,
Τὴν μὲν ἔμπροσθεν ἐρυθρόχροον οὖσαν,
Τὰς δ᾽ ἄλλας δύο προσαπτομένας ταύτῃ
Ἐπὶ τοῦ μέσου τῶν ὤμων ἑκατέρου,
Καὶ περὶ τὴν κορυφὴν συνεζευγμένας.
Ἡ δεξιὰ δ᾽ ἦν χρώματος ὠχρολεύκου·
Ἡ δ᾽ ἀριστερὰ τὴν θέαν ἦν ὁμοία
Τῶν ἐρχομένων ὅθεν ὁ Νεῖλος ῥέει,
Δύ᾽ ἐχούσης ἑκάστης πτερὰ μεγάλα,
Τοιάδ᾽ ὅπως ἥρμοζε πτηνῷ τοιῷδε·
Οὔποτ᾽ εἶδον τηλίκα νηῶν ἱστία.
Πτίλα δ᾽ οὐκ εἶχεν· ἀλλ᾽ ἦν κατὰ τὸν τρόπον
Τῶν νυκτερίδος· τούτων δὲ σειομένων,
Ἐξ αὐτῶν τρεῖς ἄνεμοι συνεξωρμῶντο,
Ὑφ᾽ ὧν συνεπήγνυτο Κωκυτὸς ἅπας.
Ἓξ ὄμμασιν ἔκλαιε, κἀπὶ πωγώνων
Τριῶν ἔσταζε τὸ δάκρυ σὺν σιέλοις

Αἱματοφύρτοις. Ὀδὰξ ἕκαστον στόμα
Ἕν᾽ ἁμαρτωλὸν ἔθραυε δίκην ὅλμου,
Διὰ μιᾶς τε τρεῖς ἀθλίους συνέθλα.
Ὡς πρὸς τὸν ἔμπροσθ᾽ αἱ δήξεις οὐδὲν ἦσαν
Πρὸς τοὺς ὄνυχας· ἔσθ᾽ ὅτε γὰρ ἡ ῥάχις
Ἔμενε τοῦ δέρματος γεγυμνωμένη.
"Ἡ μᾶλλον ἄνω πάσχουσ᾽," εἶπε Προστάτης
Οὑμός, "ψυχή 'στιν Ἰούδας Σκαριώτης,
„Ἔχων κεφαλὴν ἔνδον, τὰ σκέλη δ᾽ ἔξω.
„Τῶν δ᾽ ἄλλων δύο, τῶν τὴν κεφαλὴν κάτω
„Ἐχόντων, ὁ μὲν μελάγχρους ἐστὶ Βροῦτος·
„Βλέπε πῶς λυγίζεται, λέξιν οὐ λέγων·
„Ὁ δὲ Κάσσιος, δοκῶν πιμελὴς οὕτως.
„Ἀλλ᾽ ἡ νὺξ ἐπάνεισι· νῦν δ᾽ ἡμῖν ὥρα
„Ἐστὶν ἀπελθεῖν· εἴδομεν γὰρ τὰ πάντα."
Ἐπ᾽ αὐχέν᾽ αὐτοῦ κελεύσαντος ἠρτήθην·
Ὁ δ᾽ ἐκλέξας πρόσφορον καιρὸν καὶ τρόπον,
Ἅμα τῶν πτερῶν ἀνοιχθέντων ἀρκούντως,
Εἰς τὰς τριχώδεις προσηρτήθη λαγόνας·
Εἶτ᾽ εἰς μαλλὸν ἐκ μαλλοῦ κατέβη κάτω

Μέσον τριχὸς δασείας πλακῶν τ' ἐκ πάγου.
Ἐπεὶ δὲ κατήλθομεν ἔνθα πρὸς τἄνω
Τῶν ἰσχίων ὁ μηρὸς προστρέπεταί πως,
Οὑμὸς Ἡγήτωρ ἐν κόπῳ κἀγωνίᾳ
Θεὶς τὴν κεφαλὴν ἔνθα τοὺς πόδας εἶχεν,
Εἷλε τῶν τριχῶν, ὥς τις πηδῶν ἐφ' ἵππον,
Ὥστ' ᾠόμην εἰς Ἅδην ἐπανακάμπτειν.
" Πρόσχες νῦν·" εἶπεν ὁ Προστάτης ἀσθμαίνων,
Ὡς ἄνθρωπος κεκμηκώς, " διὰ κλιμάκων
„ Τοιῶνδ' ἀπαλλαγῆναι δεινῶν δεῖ τῶνδε."
Εἶτα δι' ὀπῆς ἐξελθὼν τινος πέτρας,
Καὶ καθίσας μ' ἀτρέμας ἐπὶ τοῦ χείλους,
Ἔθετ' ἐγγύς μου τὸν φυλακτικὸν πόδα.
Ὄμματ' ἔτεινα, καί μοι βλέπειν ἐδόκουν
Τὸν Ἑωσφόρον οἷον ἔλιπον πρῶτον·
Εἶδον δ' αὐτὸν ἔχοντα τοὺς πόδας ἄνω.
Ὡς δ' ὅλος ἐξεστηκὼς τότ' ἐγενόμην,
Λογισάσθωσαν οἱ χύδην, μὴ νοοῦντες
Διὰ τίνος σημείου διῆλθον ἄρτι.
" Ἀνάστηθ' ἐπὶ ποδῶν," εἶπε Προστάτης,

"Ἡ τρίβος μακρά, τραχεῖα δ' ἡ πορεία·
„Ὁ δ' ἥλιος ἐπάνεισ' ἡμιτριταῖος."
Οὐκ ἦν τις περίπατος ἀνακτορίων,
Ἔνθ' ἡμεῖς ἦμεν, ἀλλὰ φυσικὴ φάραγξ
Ἐκ γῆς τραχείας φωτός τ' ἐστερημένης.
"Πρὶν ἀπαλλαχθῶ τῆς ἀβύσσου τῆσδ'," εἶπον,
Ὅτ' ἀνωρθώθην, "μικρὸν δή τί μοι φράσον,
„Ἵν' ἐξαγάγῃς μ', ὦ Προστάτα, τῆς πλάνης·
„Ποῦ 'στιν ὁ πάγος; οὗτος δὲ πῶς κατέστη
„Οὕτως ἐπίκαρ; πῶς τ' ἐξ ἑσπέρας ἔβη
„Ἥλιος ἐν ὀλίγαις ὥραις πρὸς ἕω;"
Ὁ δὲ πρὸς ἐμέ· "Σὺ τάχα φρονεῖς ἔτι
„Εἶναι τοῦ κέντρου πέραν, ἔνθ' ἐδραξάμην
„Τριχῶν σκώληκος τὴν γῆν διατρυπῶντος.
„Ἐκεῖ μὲν σύ γ' ἦς, ὅτε κατέβην· ὅμως
„Ὁπότ' ἐστράφην, διέβης τὸ σημεῖον,
„Ἐφ' ὅπερ ῥέπει πανταχόθεν τὰ βάρη.
„Ἐν τῷ κάτω δ' εἶ σὺ νῦν ἡμισφαιρίῳ,
„Ὅπερ ἔστ' ἀντίθετον πρὸς τὸ καλύπτον
„Τὴν ὅλην ξηράν, ἔνθα σταυρὸν ὑπέστη

„ Ὁ γεννηθεὶς καὶ ζήσας ἀναμαρτήτως.
„ Ἔχεις τοὺς πόδας ἐπὶ μικκύλης σφαίρας
„ Πρὸς τὴν Ἰουδαϊκὴν ἀντικειμένης.
„ Ὧδε μὲν ἕως, ἐκεῖ δ' ἐστὶν ἑσπέρα.
„ Ἐκεῖνος δ', οὗπερ ἡ θρὶξ ἦν ἡμῖν κλίμαξ,
„ Ἔτι νῦν βεβύθισται, καθὼς ἦν πρῶτον.
„ Πρὸς μέρος τόδε κατέπεσ' οὐρανόθεν·
„ Ἡ δ' ὧδε πρώην ὑψουμένη γῆ, τότε
„ Φοβηθεῖσ' αὐτὸν ἐκαλύφθη θαλάσσῃ,
„ Κ' εἰς τὸ παρ' ἡμῖν ἡμισφαίριον ἦλθε.
„ Φεύγουσα δ' ἴσως αὐτὸν ἔλιπε τόπον
„ Κενὸν ὧδε, κἀντεῦθεν εἰς ὕψος ἤρθη."—
Κάτω 'στι τόπος, τοῦ Βελζεβοὺλ ἀπέχων
Τοσοῦτον, ὅσον ὁ βυθὸς ἔχει μῆκος·
Ὥστ' ὄμμασιν ἔκφαντος οὐκ ἔστ', ἀλλ' ἤχῳ
Ῥύακος, ὅστις ἐκεῖθεν καταβαίνει
Διὰ κρημνοῦ ῥωγάδος, ἣν περιῤῥέων
Διώρυξεν, ὢν μικρὸν ἐγκεκλιμένος.
Ἡγήτωρ δ' ἐγώ τ' εἰς κρυπτὴν ὁδὸν τήνδε
Εἴσιμεν, εἰς φωτεινὸν νοστοῦντες κόσμον.

Οὐ φροντίζοντες παύλης ἔβημεν ἄνω,
Αὐτὸς μὲν πρῶτος, ἐγὼ δ' αὐτοῦ κατόπιν,
Ἕως οὗ τὰ τοὐρανοῦ κατεῖδον κάλλη
Διὰ χάσματος κυκλοτεροῦς, κἀκεῖθεν
Συνεξελθόντες εἴδομεν πάλιν τἆστρα.

ΤΕΛΟΣ.

ΣΗΜΕΙΩΣΕΙΣ.

ΣΗΜΕΙΩΣΕΙΣ.

Εἰς Ὠδὴν Α'.

1. *Κατὰ τὸ ἔτος* 1300 *ὁ ποιητὴς ἦν τριακονταπενταετής, τοῦτ' ἔστι περὶ τὰ μέσα τῶν ἑβδομήκοντα, τῆς κοινῶς ὑποτιθεμένης διαρκείας τῆς ἀνθρωπίνου ζωῆς. Χρόνος δὲ τοῦ ἔτους καὶ τῆς ἡμέρας ὥρισται ἐν Ὠδῇ ΚΑ'*, 112.

17. *Τοῦ ἡλίου.*

30. *Ὁ περιπατῶν ἐπὶ ἴσου ἐδάφους ἔχει κατώτερον τὸν πόδα, ἐφ' οὗ ἐρείδεται. Ἐναντίως πράττομεν ἐν τῇ ἀναβάσει· φέρομεν γὰρ ἀνωτέρω τὸν πόδα, ἐφ' ὃν ἐρειδόμεθα. Ἐντεῦθεν ἐξάγεται ὅτι ὁ Δάντης ἦν εἰσέτι ἐπὶ πεδιάδος, τῆς πρὸς τὸν λόφον ἀναβάσεως ἀρχομένης ἐν τῷ προσεχεῖ στίχῳ.*

38. *Τοῦτ' ἔστι μετὰ τοῦ ἀστερισμοῦ τοῦ κριοῦ, ζῳδιακοῦ σημείου τοῦ Ἀπριλίου μηνὸς εἴτε τοῦ Ἔαρος, ὅτε, κατ' ἀρχαίαν τινὰ δόξαν, ἤρξατο ἡ κίνησις τῶν ἀστέρων ἐν τῇ δημιουργίᾳ. Ἦν δὲ ἡμέρα τῆς Μεγάλης Παρασκευῆς.*

45. *Τὰ τρία θηρία, ὑπαγορευθέντα πιθανῶς τῷ ποιητῇ ὑπὸ Ἱερεμίου,* ἀντιστοιχοῦσι, κατά τινας τῶν ἑρμηνευ-*

---

* “Διὰ τοῦτο ἔπαισεν αὐτοὺς λέων ἐκ τοῦ δρυμοῦ, καὶ λύκος ἕως τῶν οἰκιῶν ὠλέθρευσεν αὐτούς, καὶ πάρδαλις ἐγρηγόρησεν ἐπὶ τῶν οἰκιῶν αὐτῶν.” (Ἱερεμ. Ε', 6.)

τῶν, ταῖς ἐν τῇ ἑνδεκάτῃ ᾠδῇ ὁρισθείσαις τρισὶ διαιρέσεσιν ἁμαρτημάτων, δηλαδὴ τοῖς ἁμαρτήμασι τῆς Ἀκρασίας, τῆς Κακίας ἢ φθόνου καὶ τῆς Θηριότητος ἢ ὑπερηφανίας. Ἄλλοι, πολιτικῶς ἑρμηνεύοντες τὴν ἀλληγορίαν, φρονοῦσιν, ὅτι ἡ ἐλαφρὰ καὶ εὐκίνητος καὶ πολύστικτος πάρδαλις παρίστησι τὴν Φλωρεντίαν καὶ τὰς συνεχεῖς ἐν αὐτῇ μεταβολὰς καὶ στάσεις· ὁ δὲ λέων τὴν Γαλλίαν ῥᾳδιουργοῦσαν μετὰ τῆς Παπικῆς Αὐλῆς ὑπὲρ τῆς ἐκλογῆς Καρόλου Οὐαλεσιέων (de Valois) *ὡς Αὐτοκράτορος, καὶ τῆς ἐν Ἰταλίᾳ καθιδρύσεως τῆς Γαλλικῆς ἐπιῤῥοῆς ὁ δὲ λύκος τὴν Ῥώμην ἢ τὴν μερίδα τοῦ Μέλανος Γουέλφου (Γερμανιστί* Wolf, *λύκου). Τινὲς δὲ τῶν σχολιαστῶν διατείνονται, ὅτι ἡ μὲν πάρδαλις ἐμφαίνει ἠθικῶς τὰ δελεάσματα τῶν αἰσθήσεων, ἤτοι τὰς σαρκικὰς ἡδονάς· ὁ δὲ λέων ἐστὶ τὸ ἔμβλημα τῆς φιλοδοξίας τῆς ἐν τῇ φορᾷ τῶν κοσμικῶν ἀποπλανήσεων ταραττούσης τὸν βίον διὰ τῶν ὁρμητικῶν αὐτῆς ἐφέσεων· ἡ δὲ λύκαινα εἰκονίζει τὴν πλεονεξίαν καὶ φιλαργυρίαν, ἣν βδελύττεται ὁ ποιητὴς παρὰ πᾶν ἄλλο πάθος, ὡς ὑπάρξασαν τὸ αἴτιον τῶν κατ' αὐτοῦ συκοφαντιῶν καὶ τῆς καταδίκης αὐτοῦ, κυρίως δὲ τῶν στασιαστικῶν καὶ ταλαιπώρων διχονοιῶν τῶν χρόνων ἐκείνων.*

60. *Ἐννοεῖ ὁ ποιητὴς οὐ τὸν φυσικόν, ἀλλὰ τὸν μυστικὸν ἥλιον, τοῦτ' ἔστι τὴν φωτίζουσαν ἐνάρετον εὐδαιμονίαν· τὸ γὰρ φῶς παρὰ τῷ ποιητῇ σύμβολόν ἐστι τῆς εὐδαιμονίας, τὸ δὲ σκότος τῆς δυστυχίας. Ἀποκαλεῖ δὲ αὐτὸν σιωπῶντα μεταφορικῶς ἀντὶ τοῦ, μὴ διαλάμποντα, ὡς εἰ ἔλεγεν· «ἡ λύκαινα ἐξώθει με ἐκ τῶν χρηστῶν ἐλπίδων τῆς ἐπὶ τὸν λόφον ἀναβάσεως πρὸς τὴν προτέραν κοιλάδα τῆς ἐρημώσεως. Παρομοίᾳ μεταφορᾷ χρώ-*

μενος εἶπεν ὁ ποιητὴς ἀλλαχοῦ· 'in loco d'ogni luce muto' (*Ε΄*, 28), *δηλαδή, εἰς τόπον ἄφωνον, κωφόν, ἀντὶ τοῦ, ἄμοιρον, ἐστερημένον φωτός. Τοιαύτη τις ἂν εἴη καὶ ἡ παρὰ Σοφοκλεῖ μεταφορὰ ἐν τῇ χρήσει τῆς λέξεως τυφλός, ἀντὶ τοῦ, ἄμοιρος, ἐστερημένος· "Τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ"* (*Οἰδ. Τύρ.* 371), *καί, "τὴν τέχνην δ' ἔφυ τυφλός"* (*αὐτ.* 389). *Ἴσως δὲ ὁ Δάντης ἐμιμήθη ἐν τῇ χρήσει τῆς λέξεως* tacere (*σιωπᾶν*) *τὸν Βιργίλιον εἰπόντα:* 'loca tacentia' (*Αἰν. ΣΤ΄*, 265), *ἃς λέξεις ὁ ἡμέτερος Εὐγένιος ὁ Βούλγαρις μετέφρασεν "ἄναυδοι χῶροι," καθάπερ καὶ ὁ Ἄγγλος ποιητὴς Μίλτων, μιμούμενος τὸν Δάντην, παρίστησι τὸν ἥλιον σιγηλόν, εἰπών·*

"The sun to me is dark,
And silent as the moon
When she deserts the night
Hid in her vacant interlunar cave." (*S. Ag.*)

63. *Ὁ Βιργίλιος παρίσταται μακρὸν σιγῶν καὶ δοκῶν ἄλαλος, ὡς παραμεληθείσης δι' ὅλης τῆς μακρᾶς περιόδου τῶν μεσαιωνικῶν χρόνων τῆς μελέτης τῶν ποιημάτων αὐτοῦ.*

101. *Λυκοθήραν ἐννοεῖ ὁ ποιητὴς τὸν μέλλοντα σωτῆρα τῆς Ἰταλίας. Κατά τινας δὲ τῶν ἑρμηνευτῶν ὑπαινίττεται τὸν* Can Grande della Scala, *ἤτοι Κύνα Μέγαν τῆς Σκάλας, ὃς ἐκαλεῖτο παρ' Ἰταλοῖς Κάτουλος, ἤτοι κυνίσκος τῆς Βηρώνης. Οὗτος ἦν μέγας ἀρχηγὸς τῶν Γιβελίνων καί, ὡς ἐκ τοῦ ὀνόματος αὐτοῦ, φυσικὸς ἀνταγωνιστὴς τοῦ ἐν Ῥώμῃ λύκου. Ἦν δὲ εἷς τῶν ἐν ἐξορίᾳ πρωτίστων φίλων τοῦ Δάντου.*

105. *Δηλαδὴ μεταξὺ τῆς πόλεως Φέλτρου ἐν τῇ ἐπαρχίᾳ Βελλούνου καὶ τοῦ ὄρους Φέλτρου* (Monte Feltro) *ἐν Ῥωμανίᾳ* (Romagna), *τῇ παρὰ Λατίνοις Φλαμινίᾳ.*

106. *Τὴν Ἰταλίαν, ἧς προλέγεται ἐνταῦθα ἡ ἐλευθέρωσις, ἀποκαλεῖ ὁ ποιητὴς ὑπὸ πολιτικὴν ἔποψιν* umile Italia, *τεταπεινωμένην Ἰταλίαν, κατὰ μίμησιν τοῦ Βιργιλίου, ὃς μνείαν ποιούμενος τῆς ἐκ τοῦ πελάγους θέας τῆς Κάτω Ἰταλίας* (Bassa Italia), *ἐχρήσατο, ἀλλὰ κατὰ φυσικὴν ἔννοιαν, τῷ αὐτῷ ἐπιθέτῳ* humilis, *ταπεινή, χθαμαλή, εἰπών,* . . . . Humilem videmus Italiam. (*Αἰν. Γ'*, 522.)

122. *Ἡ Βεάτριξ, ἡ ἀπαθανατισθεῖσα ψυχὴ τῆς θυγατρὸς Φόλκου Πορτινάρου* (Folco Portinari), *ἀντικείμενον τοῦ νεανικοῦ καὶ διαρκοῦς ἔρωτος τοῦ Δάντου. Ἐν τοῖς ποιήμασι τοῦ Δάντου ἡ μὲν Βεάτριξ παρίστησι τὴν θείαν καὶ αἰώνιον φιλοσοφίαν, ὁ δὲ Βιργίλιος, ὁ ποιητικῶς καθιστορήσας τὰ τῆς συστάσεως τοῦ Ῥωμαϊκοῦ κράτους, ἐκπροσωπεῖ τὴν ἀνθρώπινον καὶ πολιτικὴν φιλοσοφίαν καὶ φιλολογίαν.*

124. *Αὐτοκράτωρ, ὁ Θεός.*

Εἰς Ὠδὴν Β'.

13. *Ἡ εἰς Ἅδου κατάβασις τοῦ Αἰνείου γέγραπται ὑπὸ Βιργιλίου, Αἰνειάδος Ὠδῇ ΣΤ'.*

28 *Ὁ Ἅγιος Παῦλος, "σκεῦος ἐκλογῆς"* (*Πράξ. Θ'*, 15)· *ἁρπαγεὶς ἄχρι τρίτου οὐρανοῦ* (2 *Κορ. ΙΒ'*, 2).

52. *Τῶν μετεώρων, τῶν ἐν τῷ προαυλίῳ* (*Δ'*, 24).

78. *Μειότροχον οὐρανὸν ἐννοεῖ ὁ ποιητὴς τὸν οὐρανὸν ἤτοι κύκλον τῆς Σελήνης, ἔχοντα περιφορὰν μείονα τῆς*

τῶν πλανητῶν καὶ περιλαμβάνοντα ἀμέσως τὴν Γῆν καὶ πάντα τὰ ἐπὶ τῆς Γῆς. (*Ὅρα Ζ'*, 64.)

94. *Κοινῶς ὑπολαμβάνεται ἡ Παναγία Παρθένος. Λουκία δέ, ἑλληνιστὶ Φωτεινή, κατὰ μέν τινάς ἐστιν ἡ φωτίζουσα χάρις, ὡς ἐκ τῆς σημασίας τῆς λέξεως, κατ' ἄλλους δὲ ἡ προστάτις τοῦ ποιητοῦ, ἡ δοῦσα αὐτῷ τὸ φῶς τῆς ἱερᾶς ἐπιστήμης.*

96. *Διὰ τῆς μεσιτείας.*

108. *Διὰ τῆς λέξεως: ποταμοῦ* (fiumana) *ὁ ποιητής, κατὰ μέν τινας, ἐννοεῖ τὸν Ἀχέροντα, κατ' ἄλλως δὲ μεταφορικῶς τὸν ἄγριον Δρυμῶνα, μᾶλλον θυελλώδη καὶ ἐπικίνδυνον τῆς θαλάσσης ὄντα· τοιαύτῃ γὰρ μεταφορᾷ χρώμενος ὁ ποιητὴς ἀποκαλεῖ ἐν τῇ ΙΔ' Ὠδῇ τοῦ Καθαρτηρίου τὴν Φλωρεντίαν πρῶτον μὲν* riva del fiero fiume, *ὄχθην τοῦ ἀγρίου ποταμοῦ, εἶτα δὲ* trista selva, *λυπηρὸν δρυμῶνα.*

Εἰς Ὠδὴν Γ'.

59. *Οὗτος ἦν Πάπας Κελεστῖνος ὁ Ε', ὃς διὰ φόβον ἢ ἕνεκα κολακειῶν τοῦ διαδεξαμένου αὐτὸν ἀπέθετο τὴν ἀρχιερατείαν μετὰ ἐννέα μῆνας ἀπὸ τῆς ἐκλογῆς αὐτοῦ. Ὁ ποιητὴς ἐπιμέμφεται αὐτῷ ὡς συντελέσαντι διὰ τῆς πράξεως ταύτης εἰς τὴν ἀναγόρευσιν Βονιφακίου τοῦ Η'.*

64. *Ὁ μὴ δοὺς ἐν τῷ κόσμῳ σημεῖον ζωῆς διὰ τῶν αὐτοῦ πράξεων οὐδέποτε ἦν ζῶν, κατὰ τὸν ποιητήν, ὡς πρὸς τοὺς ἄλλους ἀνθρώπους.*

83. *Ἐν τῇ περιγραφῇ τοῦ Χάρωνος ὁ ποιητὴς μιμεῖται τὸν Βιργίλιον* (*Αἰν. ΣΤ'*, 299-310).

93. *Δηλαδὴ τοῦ ἀγγελικοῦ σκάφους*, snelleto e leggiero, *οὗ γίνεται μνεία ἐν τῷ Καθαρτηρίῳ, Β'*, 41.

97. *Μίμησις τοῦ*: rabida ora quierunt (*Αἰν. ΣΤ'*, 102).

99. *Ὁ Βιργίλιος εἶπε*: stant lumina flammâ (*Αἰν. ΣΤ'*, 300).

117. *Ἐν τῇ δι' ἱεράκων ἀγρεύσει.*

Εἰς Ὠδὴν Δ'.

52. *Ὁ Βιργίλιος ἀπέθανε περὶ τὸ πεντηκοστὸν ἔτος πρὸ τῆς εἰς Ἅδου καταβάσεως τοῦ Χριστοῦ.*

92. *Ἀντὶ τοῦ*: voce unita, *ὁ ποιητὴς εἶπε*, voce sola, *φωνὴ μόνη. Μετεφράσθησαν δὲ αἱ δύο λέξεις ἑλληνιστί, φωνὴ μία, ὅπως ἐννοηθῇ κάλλιον ὅτι ἡ ἐπὶ τῇ ἐπανόδῳ τοῦ Βιργιλίου ἀκουσθεῖσα ἀναβόησις ἐγένετο μιᾷ φωνῇ.*

110. *Τὰ ἑπτὰ τείχη καὶ αἱ ἑπτὰ θύραι κατὰ μέν τινας εἰκονίζουσι τὰς ἑπτὰ πρώτας ἀρετάς, προμαχῶνας τῆς Ἠθικῆς παρὰ τοῖς ἐθνικοῖς· κατά τινας δέ, τὰς ἑπτὰ ἐπιστήμας τοῦ Τριοδίου* (Trivium) *καὶ Τετραοδίου* (Quadrivium), *τὰς ἀπαρτιζούσας τὰς διαιρέσεις τῆς ἐκπαιδεύσεως κατὰ τὸν Μεσαιῶνα. Ἦσαν δὲ τοῦ μὲν Τριοδίου ἡ Γραμματική, Ῥητορικὴ καὶ Λογική, τοῦ δὲ Τετραοδίου ἡ Ἀριθμητική, Μουσική, Γεωμετρία καὶ Ἀστρονομία.*

121. *Ἠλέκτρα, θυγάτηρ Ἄτλαντος καὶ μήτηρ Δαρδάνου, τοῦ οἰκιστοῦ Τροίας καὶ προγεννήτορος τῶν Ῥωμαίων.*

131. *Τὸν Ἀριστοτέλη.*

140. *Διοσκορίδης, Ἰατρὸς ἐκ Κιλικίας κατὰ τὸν πρῶτον αἰῶνα, συνέγραψε πραγματείας περὶ Ἰατρικῆς ὕλης καὶ περὶ ἰδιοτήτων τῶν φυτῶν.*

142. *Πτολεμαῖος ὁ γεωγράφος καὶ Ἀστρονόμος.*

143. *Ἀβισίνας* (Avicenna), ابن سينا *Ἴβν Σινᾶ, υἱὸς Σινᾶ, περίφημος φιλόσοφος καὶ ἰατρὸς Ἄραψ. Ἐγεννήθη τῷ* 980, *ἀπέθανε τῷ* 1036.

144. *Ἀβεῤῥόης* (Averroes), ابن رشد *Ἴβν Ῥόσδ, υἱὸς Ῥόσδου, ἐκ Κορδύβης* (Cordove), *ἄλλος φιλόσοφος καὶ ἰατρὸς Ἄραψ, καὶ ὀνομαστὸς ὑπομνηματογράφος τοῦ Ἀριστοτέλους. Ἐγεννήθη τῷ* 1149, *ἀπέθανε τῷ* 1198.

Εἰς Ὠδὴν Ε'.

28. *Ἐν τῷ πρωτοτύπῳ* "in loco d'ogni luce muto," *τοῦτ' ἔστιν* "*εἰς τόπον παντὸς φωτός κωφόν.*" (*Ὅρα Σημ. Ὠδ. Α'.* 60.)

57. *Παῦλος Ὀρέσιος, ἱστορικὸς χριστιανός, Πρεσβύτερος Ἱσπανός, γράφων περὶ Σεμιράμιδος λέγει τὰ ἑξῆς* (*Α'*, 4): "Privatam ignominiam publico scelere obtexit. Precepit enim ut . . . cuique libitum esset, liberum fieret."

61. *Ἡ Διδώ.*

66. *Ὁ Ἀχιλλεὺς ἐφονεύθη ἐν τῷ τελεῖσθαι τὸν μετὰ Πολυξένης γάμον.*

67. *Κατὰ τὸ μυθιστόρημα Ἀρθούρου ὁ Τριστανὸς ἐραστὴς ἦν τῆς βασιλίσσης Ἰσόττας, καὶ ἐφονεύθη ὑπὸ τοῦ συζύγου αὐτῆς Μάρκου, βασιλέως Κορνουβίας* (Cornubia, Cornwall).

76. *Αἱ ψυχαὶ αὗταί εἰσι Φραγκίσκη, θυγάτηρ Γουΐδου Πολέντα, κυρίου Ῥαυέννης, καὶ Παῦλος, υἱὸς Μαλατέστα, κυρίου Ἀριμίνου* (Rimini), *καὶ ἀδελφὸς τοῦ συζύγου αὐτῆς. Φωραθέντες ὁμοῦ ἐφονεύθησαν ὑπὸ τοῦ συζύγου*

τῆς Φραγκίσκης καὶ ἐτάφησαν ἐν τῷ αὐτῷ μνήματι. Τοῦτο συνέβη τῷ 1288. *Μετὰ μακρὰν ἔχθραν, ὁ Πολέντας καὶ Μαλατέστας ἔγνωσαν συμφιλιωθῆναι δι' ἐπιγαμβρίας. Ἀλλ' ἐπειδὴ ὁ πρωτότοκος υἱὸς τοῦ Μαλατέστα,* Gian Chiotto (*Ἰωάννης ὁ χωλὸς*) *τοὔνομα, καίτοι πηρομελὴς καὶ δυσειδής, ἐξελέχθη ὑπὸ τῶν συμβαλλόντων ὡς ὁ μέλλων σύζυγος τῆς Φραγκίσκης, προέβλεπον δὲ τὴν ἄρνησιν τῆς κόρης, ἐτεχνάσθησαν δόλιόν τι καὶ ἀποτρόπαιον τέχνασμα· εἰσήγαγον γὰρ τῇ κόρῃ ὡς μνηστῆρα Παῦλον τὸν νεώτερον ἀδελφὸν Ἰωάννου τοῦ χωλοῦ, νέον εὐειδέστατον καὶ διαπρέποντα μεταξὺ τῶν ἀνδρειοτέρων ἱπποτῶν τῆς Ἰταλίας, ὃν καὶ ἀπεδέξατο αὕτη κεχαρισμένως· ἐν δὲ τῇ τοῦ γάμου τελετῇ ἀντὶ τοῦ Παύλου ἀντικατέστησαν τὸν ἀπεχθῆ αὐτοῦ ἀδελφὸν Ἰωάννην. Ἀλλ' ἡ Φραγκίσκη διετέλει πιστὴ εἰς ὃν ἐν ἀθωότητι συνέλαβε πρὸς τὸν Παῦλον ἔρωτα.*

107. **Καΐνα**, *ὁ ἐν Ἅδου τόπος τῶν ἀδελφοκτόνων* (*ΛΒ΄*. 58).

123. *Τὴν αὐτὴν σχεδὸν ἰδέαν ἐξέφρασε καὶ ὁ ἡμέτερος Εὐριπίδης* (*Τρωάδ.*, 634-635):

> "Ὁ δ' εὐτυχήσας, ἐς τὸ δυςτυχὲς πεσών,
> Ψυχὴν ἀλᾶται τῆς πάροιθ' εὐπραξίας."

128. *Λαγκελῶτος, εἷς τῶν ἱπποτῶν τῆς Στρογγύλης Τραπέζης* (Table Ronde) *καὶ ἐραστὴς τῆς. βασιλίσσης Γουϊνευείρας ἐν τῷ τοῦ Λαγκελώτου μυθιστορήματι. Τὸ δὲ χωρίον, ὃ αἰνίττεται ὁ ποιητὴς ἐν τῷ τέλει τοῦ διηγήματος, κατ' ἀρχαίαν τινὰ γαλλικὴν μετάφρασιν τοῦ βιβλίου ἔχει οὕτω*: "Galléhaut ajouta que toutes les prouesses qu'avait faites depuis Lancelot n'avaient eu pour but

que de plaire à la reine, et qu'il en était passionnément amoureux, et sur-le-champ exigea qu'en récompense de si nobles services la reine donnât un baiser à son chevalier.

"De quoy me ferois-je prier? fait-elle, plus le veuil-je que vous.

"Lors tous trois se retirent plus à part et font semblant de conseiller. La reine voit que le chevalier n'en ose plus faire, si le prend par le menton, et la baisa devant Galléhaut assez longuement."

Εἰς Ὠδὴν ΣΤ΄.

13. *Ἐν τῇ περιγραφῇ ταύτῃ τοῦ Κερβέρου ὁ Δάντης μιμεῖταί πως τὸν Βιργίλιον* (*Αἰν. ΣΤ΄*, 19 *καὶ ἐφεξῆς*).

52. *Ἡ λέξις Κίακος* (Ciaco) *σημαίνει ἰταλιστὶ τὸν χοῖρον. Ἔστι δὲ καὶ ἀποκοπὴ τοῦ Ἰάκωβος, ὅπερ ἦν ἴσως τὸ χριστιανικὸν ὄνομα τοῦ Φλωρεντίνου τούτου. Οὐ διετηρήθη τοιοῦτον ὄνομα οἰκογενείας ἐν Ἰταλίᾳ· Γίνεται ὅμως μνεία Κιάκου τινὸς ἐν μιᾷ τῶν ἱστοριῶν τοῦ Δεχημέρου* (Θ΄, 8), *ὡς ἀνθρώπου γελοιάζοντος, ἀλλ' ἀσημάντου, λίαν ἐκδότου εἰς τὴν γαστριμαργίαν καὶ κύριον ἔργον ποιουμένου τὸ προμηθεύεσθαι προσκλήσεις ἐπὶ τὰς ἑστιάσεις τῶν πλουσίων.*

64. *Κατὰ τὸ* 1300 *ἔρις ἐῤῥάγη ἐν Πιστωρίᾳ μεταξὺ δύο κλάδων τοῦ οἴκου τῶν Καγκελλαρίων* (Cancellieri), *ὧν ὁ μὲν ἐλέγετο Λευκὸς ἐκ τοῦ ὀνόματος προγόνου τινὸς γυναικὸς καλουμένης* Bianca, *ὁ δὲ Μέλας πρὸς διάκρισιν ἀπὸ τοῦ ἑτέρου. Ἡ ἔρις αὕτη διῄρεσεν ἅπασαν τὴν πόλιν καὶ ἐξετάθη καὶ εἰς ἄλλας χώρας· κυρίως δὲ ἀνεπτύ-*

χθη ἡ διχοστασία ἐν Φλωρεντίᾳ, οὔσῃ τότε πόλει ὅλως Γουελφικῇ. Ὁ ἀρχαῖος οἶκος τῶν Δωνάτων, ἀρχηγὸν ἔχων τὸν Κόρσον, ἠσπάσθη τὴν φατρίαν τῶν Μελάνων, ἐν ᾧ οἱ Κέρκοι (Cerchi), *νέα τις φυλή, ἐσχάτως ἐγκατασταθεῖσα ἐν Φλωρεντίᾳ καὶ καταγομένη ἐξ ὀρεινῶν τινων περιχώρων μερῶν, ἦσαν ἀρχηγοὶ τῶν Λευκῶν, ἐξ οὗ ἡ φατρία τῶν περιχώρων ὠνομάσθη τὸ ἄγριον μέρος* (parte selvaggia). *Κατὰ Φεβρουάριον τοῦ* 1301 *οἱ ἀρχηγοὶ ἀμφοτέρων τῶν φατριῶν ἐξωρίσθησαν, τοῦ Δάντου ὄντος τότε ἑνὸς τῶν Προεστώτων ἢ Ἀρχόντων τῆς πόλεως. Ἀλλ' οἱ Λευκοὶ οὐκ ἐπαύσαντο ἐνεργοῦντες ὑπὲρ τῆς ἑαυτῶν καθόδου, καὶ κατὰ Ἰούλιον τοῦ αὐτοῦ ἔτους κατώρθωσαν τὴν ἐξορίαν τῶν ἐν Φλωρεντίᾳ μενόντων Μελάνων. Τότε Κάρολος Οὐαλεσιέων, ἀδελφὸς Φιλίππου τοῦ Καλοῦ* (Philippe le Bel) *τῆς Γαλλίας, προσεκλήθη ὑπὸ τοῦ Πάπα Βονιφακίου τοῦ Η', οὗ τὴν ἀντίληψιν ἐξητήσαντο προηγουμένως οἱ Μέλανες, ὅπως ἀναλάβῃ τὸ ἔργον εἰρηνοποιοῦ. Οὗτος ἤρξατο πολλὰ καὶ καλὰ ὑπισχνούμενος ἀμφοτέραις ταῖς μερίσιν· ἀλλὰ μετ' οὐ πολὺν χρόνον, στρατὸν εἰσαγαγὼν ἔσω τῆς πόλεως, ἐπέτρεψε τοῖς Μέλασι τὴν εἰς Φλωρεντίαν εἴσοδον καὶ τὴν λεηλασίαν καὶ κατασκαφὴν τῶν οἰκιῶν τῶν Λευκῶν, ὧν οἱ πλεῖστοι, ἐν οἷς καὶ ὁ Δάντης αὐτός, ἀπὼν τότε ὡς πρέσβυς ἐν Ῥώμῃ, ἐξωρίσθησαν κατὰ Ἀπρίλιον τοῦ* 1302, *τοῦτ' ἔστιν ἐντὸς τριῶν ἐτῶν ἀπὸ τῆς προῤῥήσεως, ἣν ὁ ποιητὴς ἔθετο ἐν τῷ στόματι τοῦ Κιάκου. Ἐπὶ τέλους δὲ ἐνιδρύθη ἐν Φλωρεντίᾳ ἡ διαρκὴς ὑπεροχὴ τῶν Μελάνων.*

73. *Ὑπαινίττεται ἴσως ὁ ποιητὴς ἑαυτὸν καὶ τὸν φίλον αὐτοῦ Γουΐδον Καυαλκάντην* (Guido Cavalcante).

80. *Τοῦ Ἀριγοῦ οὐδεμία ἀλλαχοῦ γίνεται μνεία.*

Περὶ τῶν ἄλλων ὅρα Ι΄, 32· ΙΣΤ΄, 41 καὶ 44· ΚΗ΄, 106.

106. *Δηλαδὴ εἰς τὴν Ἀριστοτέλειον φιλοσοφίαν, ἣν ἐπικαλεῖται ὁ ποιητής, αἰνιττόμενος ἴσως, ἀλλ᾽ οὐ, κατ᾽ ἐμέ, λίαν ἐπιτυχῶς, ὅ,τι εἶπεν ὁ Ἕλλην φιλόσοφος περὶ τοῦ κατ᾽ ἀρετὴν καὶ τοῦ κατὰ κακίαν τελείου ἐν Βιβλ. Δ΄, Κεφ. ΙΣΤ΄ τῶν Μετὰ τὰ Φυσικά. Σημειωτέον δὲ ὅτι ὁ Ἱερὸς Αὐγουστῖνος εἶπε:* "Cum fiet resurrectio carnis, et bonorum gaudium majus erit, et malorum tormenta majora."

Εἰς Ὠδὴν Ζ΄.

1. *Οὐδεμία τῶν ἑρμηνειῶν, δι᾽ ὧν πολλοὶ ἐπειράθησαν ἐξηγῆσαι τὰς κραυγὰς ταύτας τοῦ Δαίμονος, ἐστὶν εὐπαράδεκτος· ἁπλουστέρα ἴσως ἐστὶν ἡ ἑξῆς: Παπαὶ Σατάν, παπαὶ Σατάν! (θαυμαστικῶς) ἐμὸν Ἄλφα! (Ἑβραϊστὶ Ἄλεφ) τοῦτ᾽ ἔστιν Ἄρχων, κατ᾽ ἀναλογίαν πρὸς τὸ πρῶτον στοιχεῖον τοῦ ἀλφαβήτου. Σημειωτέον ὅτι ὁ ποιητής, συγχέων τὸν Πλούτωνα, ὡς καὶ ἄλλοι μὴ Ἕλληνες συγγραφεῖς, μετὰ τοῦ Πλούτου, παρίστησιν αὐτὸν ὡς προεδρεύοντα ἐν ταῖς βασάνοις τῶν φιλαργύρων καὶ ἀσώτων, ὡς τὸν Κέρβερον ἐν ταῖς τῶν λαιμάργων. Σημειώσεως δὲ ἄξιον ὅτι, ὡς παρ᾽ Ἕλλησιν ὑπάρχει ὁμοιότης μεταξὺ τῶν ὀνομάτων τῶν δύο Θεῶν Πλούτωνος καὶ Πλούτου, οὕτω καὶ παρὰ Λατίνοις* Dis *ἐστὶ τὸ ὄνομα τοῦ τε θεοῦ τοῦ Ἅδου καὶ τοῦ θεοῦ τοῦ πλούτου.*

11. *Αἰνίττεται τὸν ἐν τῇ Ἀποκαλύψει ἀναφερόμενον πόλεμον ἐν τῷ οὐρανῷ καὶ τὴν νίκην τοῦ Μιχαὴλ κατὰ τοῦ Δράκοντος.*

30. *Πρὸς τί τηρεῖς;* (perchè tieni?) *οὕτω λέγουσιν οἱ ἄσωτοί τοῖς φιλαργύροις· πρὸς τί ῥίπτεις;* (perchè burli?) *οὕτως οἱ φιλάργυροι τοῖς ἀσώτοις. Τοὐτ' ἔστι, διὰ τί ταμιεύεις ἄργυρον, φείδῃ χρημάτων; καί, διατί σκεδάζεις ἄργυρον, σπαταλᾷς τὴν περιουσίαν; Λέγοντες δὲ ταῦτα ἐπιμέμφονται ἀλλήλοις τὴν αἰτίαν τῆς καταδίκης.*

68. *Ἡ περιγραφὴ αὕτη τῆς Τύχης ἐφάμιλλός ἐστι τῇ τοῦ Ὁρατίου* (Ὠδ. *Α΄*, 35).

74. *Κατὰ τὸν Δάντην* (*Παραδ.*, Ὠδ. *ΚΗ΄*), *ὁ Δημιουργὸς ἔδωκε τοῖς πρώτοις δημιουργήμασιν, ἤτοι τοῖς Ἀγγέλοις, τὴν ἐπιτροπὴν εἰς τὸ διευθύνειν τὰς ἀνακυκλήσεις τῶν οὐρανίων σφαιρῶν. Τῶν δὲ Ἀγγέλων τούτων οἱ βαθμοὶ ἀντιστοιχοῦσι κατὰ τὸν ἀριθμὸν ταῖς ἐννέα κινηταῖς σφαίραις τῆς Πτολεμαϊκῆς καὶ Σχολαστικῆς Ἀστρονομίας. Ἡ Τύχη παρομοιοῦται ἐνταῦθα ταῖς ἀγγελικαῖς ταύταις Δυνάμεσιν· ἀλλ' ἔργον αὐτῆς ἐστι τὰ ἀνθρώπινα πράγματα.*

106. *Ἕλος καλεῖται ἡ Στὺξ καὶ παρὰ Βιργιλίῳ εἰπόντι,* Stygiam que paludem (*Αἰν. ΣΤ΄*, 325).

123. *Ἐν τοῖς προηγουμένοις κύκλοις εἴδομεν τὰς ποινὰς τῶν ἁμαρτημάτων τῆς Λαγνείας, Λαιμαργίας καὶ Φιλαργυρίας. Ἐν τούτῳ δὲ τιμωροῦνται τὰ τῆς Ὀργῆς καὶ Ἀκηδείας. Ἐχρησάμην τῇ λέξει Ἀκηδεία ἀντὶ τῆς Ἰταλικῆς* Accidia, *ἀφ' ἧς, κατ' ἐμὴν γνώμην, παράγεται τὸ παρὰ τῷ ποιητῇ ἐπίθετον* accidioso *τῆς λέξεως* fummo· *διὸ καὶ μετέφρασα τὰς δύο ταύτας λέξεις εἰς "καπνὸν ἀκηδείας." Σημειωτέον δὲ ὅτι ἡ Ἰταλικὴ λέξις* accidia *δυσερμήνευτός ἐστιν ἐν ταῖς ἄλλαις εὐρωπαϊκαῖς γλώσσαις.*

Περιεργείας δ' ἴσως ἄξιον ὅτι ὁ Δάντειος οὗτος στίχος προφητική τις ἂν εἴη καταδίκη τῶν νῦν ἐκ ῥαθυμίας καπνιζόντων καὶ καταπινόντων τὸν καπνὸν τῆς Νικοτιανῆς.

129. *Ἡ ἐν βορβόρῳ πνῖξις ἦν παρὰ τοῖς ἀρχαίοις Γερμανοῖς μία τῶν κυριωτέρων ποινῶν τῆς ἀνανδρίας καὶ ἀεργίας (Τακίτ. Περὶ Ἠθῶν Γερμ., Κεφ. 12).*

Εἰς Ὠδὴν Η'.

5-6. *Σημεῖα ἀνταλλάσσονται διὰ πυρσῶν, ἤτοι τηλεγραφικῶς, πρὸς ἄφιξιν τοῦ σκάφους.*

7. *Πηγὴν πάσης σοφίας ἀποκαλεῖ ὁ ποιητὴς τὸν Βιργίλιον.*

13. *Μίμησις τοῦ στίχου τοῦ Βιργιλίου·*

"Non secus ac nervo per nubem impulsa, sagitta."
(Αἰν. ΙΒ', 856).

19. *Ὁ Φλεγύας, υἱὸς Ἄρεως καὶ βασιλεὺς Λαπιθῶν, κατεδικάσθη, κατὰ τὴν ἀρχαίαν μυθολογίαν, εἰς τὸν Ἅδην, ὡς ἀσεβήσας πρὸς Ἀπόλλωνα, οὗ κατέκαυσε τὸν ἐν Δελφοῖς ναόν· ἐφ' ᾧ καὶ ὡρίσθη ὑπὸ τοῦ ποιητοῦ ὡς πορθμεὺς ἐπὶ τῆς Στυγός, περὶ τὴν καίουσαν πόλιν, ἐν ᾗ τιμωροῦνται οἱ μὴ πιστεύοντες.*

45. *Μίμησις τῶν ὑπὸ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ μνημονευομένων λόγων (ΙΑ', 27). Εἶπε δὲ καὶ Μουσαῖος·*

"Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ,
Γαστήρ, ἥ σ' ἐλόχευσε, μακαρτάτη (138-139).

61. *Φίλιππος Ἀργέντης, πλούσιος καὶ ἰσχυρὸς Φλωρεντῖνος, γνωστὸς διὰ τὰς ἀκαθέκτους αὐτοῦ πρὸς ὀργὴν ὁρμάς.*

68. *Δίς*, Dis, *ἓν τῶν λατινικῶν ὀνομάτων τοῦ Πλού-*

τωνος τῆς ἀρχαίας μυθολογίας, ὃν ὁ ποιητὴς καθίστησιν ἄρχοντα τοῦ Ἅδου, καλῶν αὐτὸν Dite *καὶ* Satan *καὶ* Lucifero *καὶ* Belzebù (*Δίτα, Σατάν, Ἑωσφόρον, Βελζεβούλ*). *Ἡ πόλις τοῦ Διτὸς σχηματίζει τὸν ἕκτον κύκλον· ἔστι δὲ ἡ εἰς τὸν κατώτερον Ἅδην εἴσοδος, ἔνθα τιμωροῦνται οἱ μᾶλλον ἔνοχοι τῶν ἁμαρτωλῶν.*

70. *Οἱ πύργοι τῆς καταχθονίου πόλεως φαίνονται τῷ ποιητῇ ὡς μεσγίδες* (*συναγωγαὶ* مسجد), *ναοὶ ὑψούμενοι ἐπὶ πόλεως μὴ χριστιανικῆς.*

75. *Ὁ Δάντης διαιρεῖ, ὡς ἔοικε, τὸν Ἅδην εἰς ἀνώτερον καὶ κατώτερον· καὶ ἀνώτερος μέν ἐστιν ὁ ἄχρι τοῦδε περιγραφείς, κατώτερος δὲ ὁ ἐντεῦθεν ἀρχόμενος.*

97. *Τοῦτ' ἔστι τῶν κινδύνων τῶν τριῶν θηρίων, τοῦ Χάρωνος, τοῦ Μίνωος, τοῦ Κερβέρου, τοῦ Πλούτωνος, τοῦ Φλεγύου καὶ τοῦ Φιλίππου Ἀργέντου. Τινὲς διατείνονται, ὅτι τὸ ἑπτάκις ἐκλαμβάνεται ὡς ἀόριστος ἀριθμός, καὶ σημαίνει πολλάκις κατὰ μίμησιν τοῦ τρόπου τοῦ ἐκφράζεσθαι τῆς Γραφῆς.*

105. *Τοῦ Δεῖνος* (da Tal), *τοῦ Θεοῦ.*

125. *Κατ' ἀρχαίαν τινὰ παράδοσιν, οἱ Δαίμονες ἀντέστησαν πρὸς τὴν εἰς τὸ προαύλιον τοῦ Ἅδου* (Limbi) *κατάβασιν τοῦ Χριστοῦ· ἀλλ' οἱ πρὸς τοῦτο ἀγῶνες αὐτῶν ἀπέβησαν μάταιοι, τοῦ Χριστοῦ καθελόντος τὴν πύλην, μείνασαν ἔκτοτε ἀνεῳγμένην.*

127. *Τὴν ἐπὶ τοῦ πυλῶνος τοῦ Ἅδου ἐπιγραφήν, τὴν ἐν τῇ ἀρχῇ τῆς τρίτης ᾠδῆς.*

130. *Ὁ Δεῖνα* (Tal), *ὁ ἄγγελος, ὃν πέμψει θεία βουλή. Ὅρα Θ΄,* 80. *Τῶν ἑρμηνευτῶν τινες διατείνονται, ὅτι ὁ Δεῖνα, περὶ οὗ ὁ λόγος, οὐκ ἔστιν ἄγγελος, ἀλλ' ὁ Αἰνείας, καταβὰς δῆθεν θείᾳ ἀδείᾳ ἐκ τοῦ πρώτου κύκλου.*

Εἰς Ὠδὴν Θ'.

23. *Ἐριχθώ, μάγισσα Θεσσαλίς, περὶ ἧς γίνεται λόγος ἐν Ὀβιδίῳ* (*Ἡρ. ΙΕ'.* 139) *καὶ ἐν Λουκανῷ, ὃς* (*Φαρσ. ΣΤ'*, 505 *κφξ*) *ποιεῖ αὐτὴν ἐπάγουσαν σκιὰν νεκροῦ προφητεύσουσαν τῷ Σέξτῳ Πομπηΐῳ τὴν ἔκβασιν τοῦ πολέμου. Ὅτι δὲ ὁ Βιργίλιος ἐπέμφθη εἰς Ἅδου ὑπὸ τῆς Ἐριχθοῦς, τοῦτο θεωρεῖται γενικῶς ὡς ἐπίνοια τοῦ Δάντου, τοῦ Βιργιλίου οὐδὲν γράψαντος περὶ ἰδίας αὐτοῦ καταβάσεως εἰς τὸν Ἅδην.*

44. *Ἡ Περσεφόνη ὑπηρετεῖτο ὑπὸ τῶν Ἐριννύων.*

52. *Μέδουσα, μία τῶν Γοργόνων, ἧς τὰ βλέμματα εἶχον τὴν δύναμιν τοῦ μεταβάλλειν τοὺς ἀνθρώπους εἰς λίθους· Προσκαλεῖται δ' ἐνταῦθα, ὅπως ἐκδικήσῃ ἐπὶ τοῦ Δάντου τὴν αὐθάδειαν τοῦ Θησέως καταβάντος εἰς Ἅδου μετὰ τοῦ Πειρίθου πρὸς ἁρπαγὴν τῆς Περσεφόνης, σωθέντων ἀμφοτέρων ὑπὸ τοῦ Ἡρακλέους, ὅτε οὗτος ἐν τῷ δωδεκάτῳ αὐτοῦ ἄθλῳ ἀνήγαγεν ἐπὶ γῆς τὸν Κέρβερον, σύρας αὐτὸν ἀλυσίδετον ἀπὸ τοῦ λαιμοῦ. Τὸ περιστατικὸν τοῦτο αἰνίττεται ὁ ποιητὴς λέγων κατωτέρω* (*στίχ·* 99), *ὅτι ὁ Κέρβερος εἶχεν ἄτριχον τὸν λαιμὸν καὶ πώγωνα.*

68. *Ἐκ τοῦ στίχου τούτου ἐξάγεται ὅτι ὁ Δάντης ἐγίνωσκε τὴν αἰτίαν τῶν ἀνέμων, προερχομένην ἐκ τῆς πρὸς τὴν ἰσοῤῥοπίαν τάσεως τῆς θερμότητος καὶ τοῦ ψύχους τῶν διαφόρων ἀντιθέτων πρὸς ἄλληλα κλιμάτων καὶ χωρῶν. Τὴν ἀντίθετον ταύτην πάλην τῶν ἀνέμων περιγράφει ὁ Αἰσχύλος οὕτω·*

“Σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων εἰς ἄλληλα
Στάσιν ἀντίπνουν ἀποδεικνύμενα.” (Προμ. 1086-1087.)

99. *Ὅρα ἀνωτέρω σημ. εἰς στίχον* 52.

112. *Ἄρλαι (παρὰ Στράβωνι καί τισι λατίνοις συγγραφεῦσιν Ἀρελάτε, ἀντὶ τοῦ παρὰ Πτολεμαίῳ Ἀρελάται), ἑλώδης χώρα παρὰ τὸν Ῥοδανόν. Ἐν αὐτῇ ἀρχαῖος ὑπάρχει νεκρῶν Ἠλύσιον Πεδίον* (Campus Elysius, *νῦν* Eliscamp) *καλούμενος, ἐν ᾧ εἰσι πολλοὶ ἐπιτάφιοι λίθοι ἐθνικῶν τε καὶ χριστιανῶν.*

Πόλα, πόλις ἐν Ἰστρίᾳ, πλησίον τοῦ παρὰ τῷ ποιητῇ κόλπου Quarnaro, *νῦν* Quarnero, *το πάλαι Φλανώνης.*

130. *Ὧδ' ὅμοιος ὁμοίῳ σύναμα κεῖται, διότι ἕκαστος τύμβος περιέχει ὀπαδοὺς τῆς αὐτῆς αἱρέσεως.*

133. *Μέσον τῶν τειχῶν καὶ μαρτύρων, δηλαδὴ μεταξὺ τῶν τειχῶν καὶ τῶν ἐν τοῖς τάφοις βασανιζομένων.*

Εἰς Ὠδὴν Ι'.

11. *Τοῦτ' ἔστι μετὰ τὴν ἡμέραν τῆς Κρίσεως. "Καὶ συνάξω πάντα τὰ ἔθνη, καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφάτ, καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ* (*Ἰωήλ, Γ'*, 2).

18. *Ἐννοεῖ ἴσως τὸν πόθον, ὃν ἐξέφρασεν ἤδη τῷ Κιάκῳ* (*ΣΤ'*, 79), *τοῦ ἰδεῖν Φαρινάτην.*

32. *Φαρινάτης ὁ τῶν Οὐβέρτων* (Farinata degli Uberti), *μέγας ἀρχηγὸς τῶν Γιβελίνων. Ἐτέθη ἐνταῦθα ὡς ἀρνούμενος τὴν ἀθανασίαν τῆς ψυχῆς καὶ δοξάζων τὰ τοῦ Ἐπικούρου.*

46. *Οἱ προπάτορες τοῦ Δάντου ἦσαν Γουέλφοι, ὡς καὶ αὐτὸς οὗτος, τοὐλάχιστον ἄχρι τῆς διαιρέσεως τούτων εἰς Μέλανας καὶ Λευκούς, ὅτε ἡ τῶν Λευκῶν μερίς, ὡς προστεθέντος τοῦ Πάπα τῇ τῶν Μελάνων, ἐγένετο φυσικῷ*

τῷ λόγῳ Γιβελίνη, καὶ ἐξώσθησαν τῆς Φλωρεντίας ὑπὸ τῶν Γιβελίνων κατὰ τὸ 1248, καὶ πάλιν κατὰ τὸ 1260 μετὰ τὴν ἐν Μοντεαπέρτῳ μάχην· ἀλλ' ἐπανῆλθον, ὥστε κατὰ τὸ 1300 οἱ Γουέλφοι ἦσαν πάλιν ἰσχύοντες ἐν Φλωρεντίᾳ, τῶν Γιβελίνων ἐξορισθέντων.

48. *Τὸ πρῶτον τῷ 1248, τὸ δεύτερον τῷ 1260. (Ὅρα τὴν προηγουμένην σημείωσιν).*

52. *Ἡ σκιὰ αὕτη ἐστὶ Καυαλκάντης ὁ τῶν Καυαλκαντῶν* (Cavalcante dei Cavalcanti), *πατὴρ τοῦ φίλου τοῦ Δάντου Γουΐδου Καυαλκάντου, ὄντος καὶ αὐτοῦ ποιητοῦ καὶ φιλοσόφου. Ὁ Γουΐδος ἦν γαμβρὸς τοῦ Φαρινάτου, ἀλλ' ἀνῆκεν εἰς τὴν ἐναντίαν μερίδα, καὶ ἦν ἔτι ἐν τοῖς ζῶσι κατὰ τὸ πάσχα τοῦ 1300, ἀποθανὼν κατὰ Δεκέμβριον τοῦ αὐτοῦ ἔτους.*

63. *Πιθανῶς ὡς μὴ θαυμάζων τὸν Βιργίλιον, ὅσον ὁ Δάντης.*

79. *Ἡ περὶ ἧς ὁ λόγος Κυρία ἐστὶν ἡ Περσεφόνη, ἢ καὶ Σελήνη, ὡς εἰ ἔλεγε· παρελεύσονται πεντήκοντα σεληνιακοὶ μῆνες, ἤτοι ἔτη τέσσαρα καί τινες ἡμέραι.*

81. *Ἐξωσθέντες τῷ 1300 οἱ Λευκοὶ ἐπεχείρησαν τὸ τελευταῖον κατὰ τὸ 1304, ἤτοι μετὰ ἐννέα μῆνας ἀπὸ τῆς προῤῥήσεως τοῦ Φαρινάτου, κατελθεῖν εἰς Φλωρεντίαν· ἀλλ' ἔκτοτε ἡ κάθοδος αὐτῶν κατέστη ἐπιμᾶλλον δυσέλπιστος, καὶ τῷ ὄντι οὐδέποτ' ἐξετελέσθη.*

85. *Ὁ Φαρινάτης ἦρχε τοῦ συμμαχικοῦ στρατοῦ τῶν Γιβελίνων, ὅτε ἐνίκησε παντάπασι τοὺς Φλωρεντίνους καὶ λοιποὺς Γουέλφους τῆς Ἐτρουρίας ἐν Μοντεαπέρτῳ, παρὰ τὸν ποταμὸν Ἀρβίαν, τῇ 4 Σεπτεμβρίου 1260. Εὐθὺς μετὰ τὴν μάχην συνεκροτήθη συνέλευσις τῶν Γιβελίνων πόλεων ἐν Ἐμπόλει* (Empoli), *ἐν ᾗ πρότασις*

ἐγένετο, ὅπως κατεδαφισθῇ ἡ Φλωρεντία, καὶ καταστραφῇ ὁλόκληρος ἡ πολιτικὴ αὐτῆς ὕπαρξις. Ἀλλ' ὁ Φαρινάτης ἀντέστη κατὰ τῆς ἐξαφανίσεως τῆς τεκούσης αὐτὸν πόλεως, ἣν καὶ ἔσωσε παντελοῦς ὀλέθρου.

87. *Ἐν Φλωρεντίᾳ αἱ συνελεύσεις τοῦ λαοῦ ἐγίνοντο ἐν τῷ ναῷ τοῦ Ἁγίου Ἰωάννου.*

99. *Ἕνεκα τούτου, καί τοι προειπόντος τοῦ Φαρινάτου τὴν Δάντου ἐξορίαν, ὁ Καυαλκάντης ἠγνόει, ὅτι ὁ υἱὸς αὐτοῦ ἦν ἐν τοῖς ζῶσιν.*

119. *Ὁ Αὐτοκράτωρ Φριδερίκος ὁ Β′ (ἀποθανὼν τὸ* 1250) *ἀφωρίσθη ὑπὸ τῆς Ἐκκλησίας τῆς Ῥώμης διά τε τὴν πρὸς τὸν παπισμὸν πολιτικὴν αὐτοῦ ἀντίστασιν, καὶ ὡς προαγωγὸς τῶν πεφωτισμένων γνώσεων καὶ εὐμενῶς διακείμενος πρὸς τοὺς ἐν Σικελίᾳ Σαρακηνοὺς ὑπηκόους αὐτοῦ· διὸ καὶ διεβάλλετο ὑπὸ τῆς δημώδους γνώμης ἐπὶ Ἐπικουρισμῷ καὶ αἱρέσει.*

120. *Ὀκτάβιος ὁ τῶν Οὐβαλδίνων* (Ottavio degli Ubaldini), *ἀποθανὼν περὶ τὸ* 1273, *καὶ καλούμενος Καρδινάλις. Οὗτος εἰώθει λέγειν βλασφημῶν· "εἰ ἔστι μοι ψυχή, ἀπώλεσα αὐτὴν χάριν τῶν Γιβελίνων."*

131. *Βεάτριξ ἐστὶν ἐκείνη, ἣν ὁ ποιητὴς ὑπαινίττεται.*

Εἰς Ὠδὴν ΙΑ′.

8. *Εἷς τῶν ὑπὸ τὸ ὄνομα τοῦτο Παπῶν* (*πιθανῶς ὁ Β′*) *ἐνομίζετο ἐσφαλμένως κατὰ τοὺς χρόνους τοῦ ποιητοῦ ὅτι ἀπέθανε κεραυνόβλητος, ὡς ἀσπασάμενος τὴν αἵρεσιν τοῦ Φωτίνου, Διακόνου Θεσσαλονίκης, ὃς ἔζη κατὰ τὸν τέταρτον αἰῶνα καὶ ἔγραψε κατὰ τῆς θεότητος τοῦ Ἰησοῦ Χριστοῦ. Ὁ χρονογράφος Μαρτῖνος τῆς Πολω-*

νίας (Frère Martin de Pologne) *καὶ μετ' αὐτὸν ὁ Δάντης συνέχεαν τὸν Πάπαν μετὰ τοῦ Αὐτοκράτορος τοῦ αὐτοῦ ὀνόματος.*

50. *Ἐκ τῆς πόλεως Καούρσης* (Cahors), *τὸ πάλαι Καδούρκου, ἐν Ἀκουϊτανίᾳ* (Guyenne), *ὠνομάσθησαν οἱ λεγόμενοι Καουρσῖνοι* (Caursini), *ἤτοι χριστιανοὶ τοκογλύφοι τοῦ δεκάτου τρίτου αἰῶνος, ὧν αἱ ἁρπακτικαὶ αἰσχροκέρδειαι καὶ ἐκβιασμοὶ ἦσαν οἱ χείριστοι τῶν παρὰ τοῖς ἄλλοις τότε λαοῖς.*

80. *Ἀριστ. Νικομ. Ἠθικά, Ζ', 1· "Τῶν περὶ τὰ ἤθη φευκτῶν τρία ἐστὶν εἴδη, κακία, ἀκρασία, θηριότης."*

90. *Πρῶτος κύκλος ἐστὶ τὸ Προαύλιον* (Limbi), *ἤτοι ἡ κατοικία τῶν ἐναρέτων ἐθνικῶν. Ἐν τοῖς κύκλοις Β', Γ', Δ', καὶ Ε', τιμωροῦνται τὰ παρὰ τοῖς χριστιανοῖς θανάσιμα ἁμαρτήματα τῆς σαρκικῆς Λαγνείας, τῆς Λαιμαργίας, τῆς Πλεονεξίας καὶ τῆς ἀντιθέτου ταύτῃ Ἀσωτείας, τῆς Ὀργῆς καὶ τῆς Ἀκηδείας, ἀναγόμενα εἰς τὸ Ἀριστοτελικὸν κεφάλαιον τῆς Ἀκρασίας. Ἐν τῷ ἕκτῳ κύκλῳ κεῖνται οἱ αἱρετικοὶ καὶ ἐπίκουρειοι. Ἐν τῷ Ἑβδόμῳ οἱ βίαιοι, διαιρούμενοι εἰς τρεῖς τάξεις, τὰς τῶν βιαίων κατ' ἄλλων, καθ' ἑαυτῶν καὶ κατὰ τοῦ θεοῦ, τῆς τελευταίας ταύτης τάξεως ὑποδιαιρουμένης εἰς τοὺς ἀντιβαίνοντας τῷ Θεῷ, ἐν τῷ ἰδίῳ αὐτοῦ προσώπῳ, ἐν τῇ φύσει καὶ ἐν τῇ τέχνῃ. Ἐν τῷ ὀγδόῳ κύκλῳ, ἤτοι τῷ Κακοβόθρῳ* (Malebolge) *κεῖνται οἱ δόλιοι, διαιρούμενοι εἰς δέκα τάξεις.—1. τῶν φθορέων γυναικῶν· 2. τῶν κολάκων· 3. τῶν σιμωνιακῶν· 4. τῶν μάγων· 5. τῶν ἀπατεώνων· 6. τῶν ὑποκριτῶν· 7. τῶν κλεπτῶν. 8. τῶν πονηρῶν συμβούλων· 9. τῶν αἰτίων πολιτικῶν διαιρέσεων· 10· τῶν ψευδουργῶν, ἐν οἷς περιλαμβάνονται οἱ ἀλχυμισταί, οἱ*

ψευδογράφοι, (λαμβάνοντες ἐν πονηρίᾳ ψευδῆ ὀνόματα ἢ πονηρῶς ψευδώνυμοι), οἱ παραχαράκται καὶ οἱ ψευδολόγοι. Πάντες οὗτοι ἀνάγονται εἰς τὸ Ἀριστοτελικὸν κεφάλαιον τῆς Κακίας, ἀντιστοιχούσης τῷ θανασίμῳ ἁμαρτήματι τοῦ Φθόνου. Ὁ ἔννατος κύκλος περιέχει τοὺς προδότας, διαιρουμένους εἰς τέσσαρας τάξεις, δηλαδὴ κατὰ συγγενῶν, πατρίδος, φίλων καὶ εὐεργετῶν, καὶ ἀναγομένους εἰς τὸ Ἀριστοτελικὸν κεφάλαιον τῆς Θηριότητος, ἀντιστοιχούσης τῇ Ὑπερηφανίᾳ, ἑβδόμῳ καὶ τελευταίῳ τῶν ἑπτὰ θανασίμων ἁμαρτημάτων·

93. *Τοῦτ' ἔστιν, οὐχ ἧττον φίλον μοι τὸ εἰδέναι ἢ τὸ παρέχειν σοι ἀφορμὴν τοῦ διδασκειν με ἐφ' οἷς διστάζω.*

101. *Ἀριστ. Φυσικ. Ἀκρ. Β', 2.*

108. *"Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου." (Γεν. Γ', 17).*

113. *Τοῦ ἡλίου ὄντος ἐν Κριῷ, καὶ τῶν Ἰχθύων, τοῦ ἐγγυτέρου ἐν τῷ Ζῳδιακῷ σημείου, ἐπιτελλόντων ἐπὶ τὸν ὁρίζοντα, ἐξάγεται ὅτι ὁ καιρός ἐστι περὶ τὰς δύο ὥρας πρὸ ἡλίου ἀνίσχοντος, ὡς δείκνυται καὶ ἐκ τῆς θέσεως τῆς Ἁμάξης.*

Εἰς Ὠδὴν ΙΒ'.

4. *Τρίδεντον, παρὰ τῷ ποιητῇ* Trento.

5. *Ἀτισὼν ὁ παρὰ τῷ ποιητῇ ποταμὸς* Adige.

12. *Ὁ Μινώταυρος ἐφονεύθη ὑπὸ Θησέως, ἥρωος τῶν Ἀθηνῶν, ὁδηγηθέντος εἰς τὸν ἐν Κρήτῃ λαβύρινθον διὰ τοῦ μίτου, ὃν παρέσχεν αὐτῷ ἡ ἀδελφὴ τοῦ τέρατος Ἀριάδνη. Ἐτέθη δ' ἐνταῦθα ὡς φρουρὸς τοῦ κύκλου τῶν βιαίων.*

22. *Μίμησις Βιργιλίου·*

" Quales mugitus, fugit quum saucius aram
Taurus, et incertam excussit cervice securim."
(Αἰν. II., 223).

40. *Ἐν τῷ σεισμῷ τῷ ἐπὶ τῆς σταυρώσεως, ὅτε ἐγένετο ἡ εἰς Ἅδου κατάβασις τοῦ Χριστοῦ.*

43. *Ὁ Ἐμπεδοκλῆς ἐδόξαζεν, ὅτι διὰ τῆς ἐνεργείας τινῶν δυνάμεων τῆς Ἀπεχθείας καὶ τοῦ Ἔρωτος ὁ κόσμος κατὰ διαφόρους ἐναλλάγδην ἐποχὰς μετεβλήθη εἰς χάος καὶ ἐπανῆλθε πάλιν εἰς τάξιν.*

71. *Χείρων, υἱὸς Κρόνου καὶ Φιλύρας, ἀνέθρεψε τὸν Ἀχιλλέα. Φόλος συνετέλεσεν εἰς τὴν ἁρπαγὴν τῆς Ἱπποδαμείας, συζύγου τοῦ Πειρίθου. Νέσσος, φονευθεὶς ὑπὸ τοῦ ἰοφόρου βέλους τοῦ Ἡρακλέους, κατέλιπε τῇ Δηϊανείρᾳ τὸν ἐκ τοῦ αἵματος αὐτοῦ βεβαμμένον χιτῶνα, ὃν ἐνδυσάμενος ἔπειτα ὁ Ἡρακλῆς ἀπέθανεν ἐν ἀλγεινοτάταις ὀδύναις*

107. *Ἀλέξανδρος ὁ Φεῤῥαῖος καὶ Διονύσιος ὁ Συρακουσῶν τύραννος.*

110. Azzolino *ἢ* Ezzelino da Romano, *Αὐτοκρατορικὸς τοποτηρητὴς Φρεδερίκου τοῦ Β', καὶ Κύριος Παταυΐου καὶ ἄλλων ἐν Λογγοβαρδίᾳ πόλεων· ἀπέθανε τῷ* 1259. *Αἱ σύγχρονοι ἱστορίαι πλήρεις εἰσὶ τῆς σκληρότητος καὶ τῶν τυραννικῶν αὐτοῦ πράξεων.*

111. Obizzo da Esti, *Μαρκίων Φεῤῥαρίας, σκληρὸς καὶ ἁρπαλέος τύραννος, ἐπνίγη μεταξὺ δύο προσκεφαλαίων ὑπὸ τοῦ ἰδίου αὐτοῦ υἱοῦ Ἄζου* (Azzo) *τῷ* 1293.

114. *Τοῦτ' ἔστι· Νῦν ἄκουε αὐτοῦ μᾶλλον ἢ ἐμοῦ.*

118. *Οὗτος ἦν Γουΐδος Μομφόρτης* (Guy de Montfort), *ὃς τῷ* 1271 *ἐντὸς τῆς ἐκκλησίας ἐν Βιτερβίνῳ*

(Viterbo), *καὶ τελουμένης τῆς ἱερᾶς λειτουργίας, ἀπέκτεινε ξιφιδίῳ τὸν Πρίγκιπα Ἐῤῥίκον, υἱὸν Ῥιχάρδου, Κόμητος Κορνουβίας, καὶ ἀνεψιὸν τοῦ βασιλέως Ἐῤῥίκου τοῦ Γ΄, πρὸς ἐκδίκησιν τοῦ Θανάτου καὶ τῶν κακοπαθειῶν τοῦ πατρὸς αὐτοῦ Σίμωνος Μομφόρτου, Κόμητος Λεγεκεστρίας* (Leicester).

120. *Τάμεσις, ποταμὸς τῆς Ἀγγλίας* Thames, *παρὰ τῇ ποιητῇ* Tamige.

135. *Πύῤῥος, βασιλεὺς Ἠπείρου, καὶ Σέξτος Πομπήϊος.*

137. *Διαβοήτων λῃστῶν καὶ δολοφόνων.*

Εἰς Ὠδὴν ΙΓ΄.

9. *Κορνέττου πόλις (τὸ πάλαι Ταρκυνία), Καικίνη ποταμός, οὐ μακρὰν ἡ μὲν Λιβόρνου, ὁ δὲ Ἑκατογκελλῶν* (Cività Vecchia). *Μεταξὺ τούτων κεῖται μεγάλη τις διάστασις τῆς Μαρέμμας, ἤτοι νοσερῶν τεναγωδῶν γαιῶν, ἐκτεινομένων παρὰ τὰς ἐν Μεσογείῳ ἀκτὰς τῆς Ἰταλίας.*

12. *Ὅρα Βιργ. Αἰν. Γ΄, 247 κφξ.*

21. *Ἐπεισόδιόν τι ὅμοιον τῷ ἑπομένῳ ἀναφέρεται περὶ Πολυδώρου μεταβληθέντος εἰς θάμνον ἐν Αἰν. Γ΄, 22 κφξ, ὃ καὶ ὑπαινίττεται ἐνταῦθα ὁ Βιργίλιος.*

25. *Παρήχησις παραπλησία τῇ τοῦ πρωτοτύπου ἐχούσῃ οὑτωσί·*

"Io credo ch' ei credette che io credesse."

35. *Μίμησις Βιργιλίου, Αἰν. Γ΄,* 41: "Quid miserum, Aenea, laceras?"

48. *Τὸ περὶ Πολυδώρου μύθευμα*

58. *Πέτρος ὁ Βοινέων* (Pietro dalle Vigne ἢ Petrus de Vineis), *νομοδιδάσκαλος Παταυΐνος, συγγραφεὺς καὶ ποιητής, ἦν ἐπὶ πολλὰ ἔτη ὑπουργὸς ἐξ ἀποῤῥήτων Φρεδερίκου τοῦ Β'. Τῷ* 1235, *ἀπεστάλη εἰς Ἀγγλίαν ὡς πρέσβυς ἐπιτετραμμένος τὴν εἰς γάμον πρόμνησιν αὐτοῦ μετὰ Ἰσαβέλλας, ἀδελφῆς Ἑῤῥίκου τοῦ Γ'. Κατηγορηθεὶς ἐπὶ προδοσίᾳ κατὰ τοῦ κυρίου αὐτοῦ, κατεδικάσθη εἰς τὴν ἀποστέρησιν τῶν ὀφθαλμῶν, οὗ ἕνεκα λέγεται ὅτι διεχρήσατο ἑαυτόν, συνθλάσας τὴν κεφαλὴν κατὰ τῶν τοίχων τῆς εἱρκτῆς τῷ* 1245. *Ἀλλ' ἀμφισβητεῖται ὅ, τε τρόπος τῆς τελευτῆς αὐτοῦ καὶ ἡ ἀλήθεια τῆς κατ' αὐτοῦ κατηγορίας.*

63. *Παλμοὺς καὶ φλέβας, τοῦτ' ἔστι τὴν ζωήν. Δάντειος φράσις.*

120. *Λάνος, εὐπατρίδης Σήνης* (Sena, *κοινῶς* Siena, *κατὰ Πτολεμαῖον Σαίνα*), *τὴν πατρῴαν περιουσίαν κατεδηδοκώς, ἐζήτησε καὶ εὗρε τὸν θάνατον ἐν τῇ ἐν Τόππῳ μάχῃ μεταξὺ Φλωρεντίνων καὶ Ἀῤῥητινῶν τῷ* 1288, *ὅτε ἐδύνατο σώζειν ἑαυτὸν φυγῇ.*

133. *Ἰάκωβος ὁ Σαντανδρέας, καταναλώσας ἀφρόνως ἅπασαν τὴν ἑαυτοῦ περιουσίαν, κατειργάσατο αὐτοχειρίαν. Λέγεται ὅτι πρὸς ταῖς ἄλλαις παραφροσύναις ἐνέπρησε μίαν τῶν ἐπαύλεων αὐτοῦ, ἵνα παράσχῃ τὸ θέαμα μεγάλης πυρκαϊᾶς φίλῳ τινὶ συμπότῃ, ἀπὸ τύχης ἐπισκεψαμένῳ αὐτόν.*

143. *Ἡ Φλωρεντία ἐκτίσθη ἐπὶ τοῦ Ἀρείου Πεδίου* (Campus Martius) *τῆς πρὸ αὐτῆς ἀρχαιας πόλεως Φαισουλῶν* (Fisole), *καὶ ἐτέθη ὑπὸ τὴν προστασίαν τοῦ Ἄρεως. Προσελθούσης τῆς Φλωρεντίας εἰς τὸν χριστιανισμόν, ὁ ἀρχαῖος ναὸς τοῦ Ἄρεως μετετράπη εἰς*

Ἐκκλησίαν καθιερωθεῖσαν τῷ Ἁγίῳ Ἰωάννῃ τῷ Βαπτιστῇ· τὸ δὲ ἄγαλμα τοῦ θεοῦ μετακινηθὲν ἐτέθη ἐπὶ τῆς ὄχθης τοῦ Ἄρνου, καὶ λέγεται ὅτι ἔπεσεν εἰς τὸν ποταμὸν ἐπὶ τῆς ἐσφαλμένως ὑποτεθειμένης ἁλώσεως τῆς Φλωρεντίας ὑπὸ Ἀττίλα· ἀλλ' ἀνευρέθη πρὶν ἀνοικοδομηθῇ ἡ πόλις ὑπὸ Καρόλου τοῦ Μεγάλου, ὅτε ἐνιδρύθη ἐπὶ τῆς ἄκρας τῆς παλαιᾶς γεφύρας, τοῦ πλανήτου Ἄρεως ὄντος τότε ἐν αἰσίᾳ προσόψει. Τὰ μείναντα λείψανα τοῦ ἀγάλματος συνείχοντο εἰς τοὺς ἑξῆς χρόνους δεισιδαιμόνως πως ταῖς τύχαις τῆς πόλεως· ὑπὸ τοὺς πόδας γὰρ αὐτοῦ ἐφονεύθη ὁ Βονδελμόντης (Buondelmonte) *ἐν τῇ συμπλοκῇ, ἧς συνέπεια ἦν ἡ σύστασις τῶν φατριῶν Γουέλφων καὶ Γιβελίνων, κατὰ τὸ* 1275· *ἡ δὲ μετάθεσις αὐτοῦ συνέβη ἓν ἔτος πρὶν ἐκραγῶσιν αἱ διαιρέσεις τῶν Μελάνων καὶ Λευκῶν.*

151. *Τὸ ὄνομα τοῦ αὐτόχειρος τούτου Φλωρεντίνου οὐ διεσώθη μετὰ βεβαιότητος· ἀλλὰ κατά τινας μὲν νομίζεται Ῥόκκος ὁ Μόζων* (Rocco degli Mozzi), *κατ' ἄλλους δὲ Λόττος ὁ Ἄγλων* (Lotto degli Agli), *ἀμφότεροι Φλωρεντῖνοι, κρεμάσαντες ἑαυτοὺς συγχρόνως, ὁ μὲν διὰ τύψιν συνειδότος, ὁ δὲ ἐξ ἀπελπισίας.*

Εἰς Ὠδὴν ΙΔ΄.

15. *Κατὰ τὴν διὰ τῆς Λυβικῆς ἐρήμου ἀπὸ Κυρήνης εἰς Ἰτύκην πορείαν πρὸς συνάντησιν τοῦ στρατοῦ τοῦ Ἰούβα.* (*Λουκαν. Φαρσ. Θ΄.*)

36. *Οὐδεὶς τῶν βιογράφων Ἀλεξάνδρου τοῦ Μεγάλου μνείαν ποιεῖται τοῦ φαινομένου τούτου, πλήν, ὡς λέγεται, Ἀλβέρτου Μάγνου, ἐπιφέροντος ὡς πίστιν ὑποβολιμαίαν τινὰ ἐπιστολὴν τοῦ Ἀλεξάνδρου πρὸς τὸν Ἀριστοτέλη.*

56. *Παρὰ τῷ ποιητῇ* Mongibello, *ὡς ἔτι καὶ νῦν καλεῖται τὸ ἐν Σικελίᾳ ὄρος Αἴτνα, ἔνθα, κατὰ τοὺς ποιητάς, οἱ Κύκλωπες κατεσκεύαζον τοὺ κεραυνοὺς τοῦ Διός.*

57. *Μεταξὺ τῶν Θεῶν καὶ τῶν Γιγάντων.*

68. *Οἱ πολιορκήσαντες τὰς Θήβας ἑπτὰ βασιλεῖς ἦσαν· Ἄδραστος, Πολυνείκης, Τυδεύς, Ἱππομέδων, Ἀμφιάραος, Παρθενοπαῖος καὶ Καπανεύς.*

79. *Τὸ Βουλίκαμόν ἐστι φυσικόν τι τέλμα θερμοῦ ὕδατος ἐγγὺς Βιτερβίνου, ἐκ μεταλλικῶν πηγῶν προερχόμενον. Ἐκ τούτου ἐκρέει διηνεκῶς ῥύαξ, διερχόμενος συνοικίαν κατοικουμένην ποτέ, ὡς λέγεται, ὑπὸ πορνῶν γυναικῶν.*

103. *Τὸ εἴδωλον τοῦ Γέροντος, ἀπομίμησίς τις ὂν τῆς εἰκόνος, ἣν εἶδε κατ' ὄναρ ὁ Ναβουχοδονόσορ, καὶ ἐξηγήσατο Δανιήλ, παρίστησι τὰς ἀλληλοδιαδόχους ἡλικίας ἢ αἰῶνας τοῦ κόσμου. Κατὰ σχέσιν δὲ πρὸς τὴν μυθολογικὴν καὶ ἐγκόσμιον ἱστορίαν, ἔθετο αὐτὸ ὁ ποιητὴς ἐν Κρήτῃ, ἴσως ὡς τόπῳ τῆς γεννήσεως τοῦ Διὸς καὶ βρεφικῇ κοιτίδι τῶν Τρωϊκῶν καὶ Ῥωμαϊκῶν φυλῶν. Κατὰ τὸν ποιητήν, τὰ τῆς ἀνθρωπότητος δάκρυα τὰ ῥέοντα διὰ πάντων τῶν αἰώνων, ἐκτὸς τοῦ χρυσοῦ, διατρέφουσι τοὺς καταχθονίους ποταμούς.*

Εἰς Ὠδὴν ΙΕ'.

4. *Βρύγαι, παρὰ τῷ ποιητῇ* Bruggia, *γαλλιστὶ* Bruges, *πόλις Φλανδρίας.*

Κασσάνδα, παρὰ τῷ ποιητῇ Guizzante, *γαλλιστὶ* Gadsand, *νῆσος ἐν Φλανδρίᾳ.*

7. *Βρέντα, τὸ πάλαι Μεδόακος, ποταμὸς ἔχων τὰς πηγὰς ἐν ταῖς Ἄλπεσι καὶ διερχόμενος διὰ Παταυΐου.*

9. *Κλαρεντάνα, παρὰ τῷ ποιητῇ* Chiarentana, *ὄρος ἀποτελοῦν μέρος τῶν Ἄλπεων περὶ τὸ Τρίδεντον. Τούτου ἡ χιὼν διατηκομένη θέρους αὐξάνει τὰ ὕδατα τῆς Βρέντας καὶ προξενεῖ πλημμύρας, ἀφ' ὧν ἀναγκάζονται φυλάττεσθαι οἱ Παταυῖνοι.*

30. *Βρουνέττος Λατίνης* (Brunetto Latini), *γεννηθεὶς τῷ* 1220, *ἀποθανὼν τῷ* 1294, *ἔξοχος Φλωρεντῖνος φιλόσοφος καὶ πολιτικὸς ἀνήρ, καὶ διδάσκαλος τοῦ Δάντου ἐν τῇ νεότητι αὐτοῦ. Συνέταξε τὸν Θησαυρὸν* (Tesoro), *ὡς ἐπιτομήν τινα πασῶν τῶν γνώσεων, ἐμπεριέχουσαν καὶ μεθερμήνευσιν τῶν Ἠθικῶν Ἀριστοτέλους. Συνεγράφη μὲν ἡ βίβλος γαλλιστὶ ὑπὸ τοῦ Βρουνέττου, ἀλλ' ἐξεδόθη μόνον ἐν μεταφράσει Ἰταλικῇ ὑπὸ Βόνου Γαμβόνου* (Bono Gamboni). *Ὁ συγγραφεὺς ἀπολογούμενος, διότι ἐχρήσατο τῇ γαλλικῇ γλώσσῃ, λέγει ὡς ἐφεξῆς·* "Et si d'aucuns demande porquoy chis' livres est écrit en romans, selon le patois de France, puisque nous somes Italiens, je diroé que c'est por deux raisons: l'une porque nous somes en France, l'autre si est porceque françois est plus délitaubles langages et plus communs que moult autres." *Ὁ Βρουνέττος ἐνομίζετο ἐπιρρεπὴς πρὸς τὴν ἡδυπάθειαν· ἀλλ' οὐχ ἧττον ἐπίμεμπτός ἐστιν ὁ ποιητὴς κατατάξας τὸν ἑαυτοῦ διδάσκαλον μεταξὺ τῶν κολαζομένων ἐπὶ βδελυκτοῖς ἁμαρτήμασιν.*

62. *Οἱ κάτοικοι τῆς ἐπὶ τοῦ λόφου ἀρχαίας πόλεως Φαισουλῶν συνεμίχθησαν τοῖς ἀποίκοις Ῥωμαίοις, ὑφ' ὧν ἐκτίσθη ἡ πόλις Φλωρεντία. Αἱ δὲ στάσεις καὶ*

παρανομίαι τῆς πόλεως ἀνάγονται εἰς τοὺς ἀπογόνους αὐτῶν, ζῶντας ἐν τῷ μέσῳ πατριῶν σεμνυνομένων ἐπὶ γνησίᾳ ῥωμαϊκῇ καταγωγῇ. Ἡ τοῦ Δάντου πατριὰ ἦν μία τούτων, διατεινομένη ὅτι κατήγετο ἀπὸ Ἐλισσαίων ἄχρι τῆς ἀρχαίας ὑπατικῆς σειρᾶς τῶν Φραγγιπάνων.

107. *Πρισκιανός, Καισαρεύς, ὁ γνωστὸς γραμματικὸς τῆς ἕκτης ἑκατονταετηρίδος.*

110. *Φραγκίσκος Δακόρσος* (Francesco d'Accorso), *φλωρεντῖνος, ὁ περίφημος νομοδιδάσκαλος τῆς Βονωνίας, ἀκμάσας κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα. Ὁ υἱὸς αὐτοῦ, ὁμώνυμος τῷ πατρὶ καὶ ἐπίσης νομοδιδάσκαλος, ἦν ἐν τῇ ὑπουργείᾳ Ἐδουάρδου τοῦ Α', καὶ διέτριβεν ἐπί τινα χρόνον ἐν Ὀξωνίᾳ.*

112. *Οὗτος ἦν Ἀνδρέας ὁ Μόζων* (Andrea de' Mozzi), *Ἐπίσκοπος Φλωρεντίας, παρὰ τὸν Ἄρνον, ὃς διὰ τὸν σκανδαλώδη αὐτοῦ βίον μετετέθη ὑπὸ τοῦ Πάπα (Δούλου τῶν Δούλων τοῦ Θεοῦ) εἰς τὴν ἧττον ἐπίσημον ἐπισκοπὴν τῆς Βικεντίας παρὰ τὸν ποταμὸν Τογισόνον (ἀρχαῖον ὄνομα τοῦ νῦν, ὡς καὶ παρὰ τῷ ποιητῇ, καλουμένου* Bacchiglione), *ὅπου καὶ ἀπέθανεν.*

120. *Ὕφασμα ὡρισμένου χρώματος εἴθιστο διδόναι ὡς βραβεῖον τοῖς νικηταῖς ἐν ταῖς πεζοδρομίαις τῶν χρόνων ἐκείνων. Ἐν Βηρώνῃ τὸ χρῶμα τοῦ ὑφάσματος ἦν πράσινον.*

Εἰς Ὠδὴν ΙΣΤ'.

37. *Ἡ Γουαλδράδα θυγάτηρ ἦν Βελλιγκίωνος Βέρτου* (Bellincione Berti), *ἀρχαίου εὐγενοῦς τῆς Φλωρεντίας, καὶ ἐφημίζετο ἐπὶ καλλονῇ καὶ μετριοφροσύνῃ. Γιγδο-*

γέῤῥας (Guidoguerra), *ἔγγονος Γουΐδου καὶ Γουαλδράδας, ἐστρατήγει τῶν Φλωρεντίνων ἐν τῇ πλησίον τοῦ Βενευέντου συγκροτηθείσῃ μάχῃ, ἐν ᾗ Μομφρέδος, νόθος υἱὸς Φρεδερίκου τοῦ Β', διαμαχόμενος ὑπὲρ τοῦ στέμματος τῆς Σικελίας, καὶ ἔχων ἐπικούρους τοὺς ἐν Ἰταλίᾳ Γιβελίνους, ἡττήθη ὑπὸ Καρόλου τοῦ Ἀνδεγαυέων* (d'Anjou) *τῷ* 1266.

41. *Ἀλδοβράνδης Τεγγαῖος* (Teggeo Aldobrandi), *ἀρχηγὸς Γουέλφος ἐν Φλωρεντίᾳ, ἐπειράθη ἀποτρέψαι τὴν ἑαυτοῦ φατρίαν τῆς ἐκστρατείας, ἧς ἀποτέλεσμα ἦν ἡ ὀλέθριος ἐν Μοντεαπέρτῳ μάχη.*

61. *Τοῦτ' ἔστι, καταλείπων τὴν χολήν, τὰς πικρίας τῶν ἐν Ἅδου ἢ τοῦ ἀγρίου Δρυμῶνος, ἀπέρχομαι πρὸς τοὺς καρπούς, τὰς οὐρανίους χαρμονάς.*

70. *Γουλιέλμος Βορσεῖρος* (Gulielmo Borsiere), *εὐπατρίδης Φλωρεντῖνος. Ἀπόφθεγμά τι αὐτοῦ περιγράφεται ἔν τινι τῶν διηγημάτων Βοκκακίου* (*Δεχημ. Α'*, 8).

94. *Ὁ ποταμὸς οὗτός ἐστιν ὁ νῦν* Montone, *καλούμενος ὑπὸ τῶν ἀρχαίων, κατὰ μὲν Πλίνιον Βίτις* (Vitis), *κατὰ δὲ Λίβιον Οὗτις* (Utis). *Ἄρχεται δὲ ἐν τῷ ὄρει Βησούλῳ, ὅπερ ὁ ποιητὴς καλεῖ ὄρος Βῆσον* (Monte Viso), *ἐν τῇ τῶν Ἀπεννίνων σειρᾷ.*

97. *Ἐν οὐδεμιᾷ τῶν ὑπαρχουσῶν γεωγραφικῶν βίβλων εὕρηται τὸ ἀρχαῖον ὄνομα τοῦ παρὰ τῷ ποιητῇ* Acquacheta *ποταμίου· ἔστι δὲ κλάδος τοῦ ποταμοῦ Βίτεως.*

99. *Φόρον Λιβιου, ἀρχαῖον ὄνομα τῆς παρὰ τῷ ποιητῇ πόλεως* Forli, *οὕτω μεταποιηθὲν παρὰ τοῖς μεταγενεστέροις κατὰ συγκοπὴν ἐκ τοῦ ἀρχαίου ὀνόματος.*

100. *Μαρουΐον, ἀρχαῖον ὄνομα πόλεως, νῦν καλου-*

μένης, ὡς καὶ παρὰ τῷ ποιητῇ, Ἅγιος Βενέδικτος (San Benedetto).

102. *Ἢ διότι τὸ Μαρούϊον ἦν ἐπὶ τῶν ἡμερῶν τοῦ ποιητοῦ κυρίως μοναστήριον ὀνομαζόμενον Ἅγιος Βενέδικτος, καὶ δυνάμενον περιέχειν πλείους τῶν χιλίων μοναχῶν, εἰ ἦν καλῶς διοικούμενον, ἢ διότι, κατά τινας, ὁ ποιητὴς ὑπαινίττεται πρόθεσίν τινα, ὑπάρξασαν μέν ποτε, ἀλλ' εἶτα ἐγκαταλειφθεῖσαν, τοῦ κτίσαι νέαν πόλιν πλησίον τοῦ Μαρουΐσυ.*

106. *Ἀλληγορικὴ ἔννοια δίδοται τῷ χωρίῳ τούτῳ ὑπό τινων, διατεινομένων ὅτι ὁ Δάντης ἐν τῇ νεότητι αὐτοῦ ἐγένετο τριβάθμιον, ἤτοι λαϊκὸν μέλος τοῦ τάγματος τοῦ Ἁγίου Φραγκίσκου, καὶ ἔφερε τὸ σχοινίον τὸ ἀποτελοῦν μέρος τῆς ἀμπεχόνης τοῦ τάγματος, οἰόμενος ἐν τοιούτῳ ἐπαγγέλματι καὶ δι' ἐξωτερικῆς ἀγωγῆς δαμάσαι τοὺς πειρασμούς, ὧν τὰ σύμβολα παρίστησι τὸ ἐν τῇ Α' Ὠδῇ πολύστικτον δέρμα τῆς παρδάλεως· διὸ καὶ ἀπέθετο προσφόρως τὸ σχοινίον, ἅμα διαβὰς τοὺς κύκλους, ἐν οἷς τιμωροῦνται τὰ δι' ἀγωγῆς τοιαύτης ἀντιπαλαιόμενα ἁμαρτήματα, τοῦτ' ἔστι τὰ τῆς Ἀκρασίας, καὶ δὴ καὶ τὰ τῆς Κακίας, ὁσάκις οὐκ ἔστιν ἐν αὐτοῖς Δόλος, καὶ ἅμα μέλλων καταβῆναι εἰς τοὺς κύκλους, ἔνθα τιμωροῦνται τὰ ἁμαρτήματα ὑποκριτικῆς καὶ πονηρᾶς καρδίας καὶ φύσει κακῆς διαθέσεως.*

128. *Ὁ Δάντης δίδωσι τὸ ὄνομα Κωμῳδία τῷ ποιήματι αὐτοῦ ὡς γεγραμμένῳ εἰς Ἰταλικὴν γλῶσσαν, νομιζομένην τότε ἧττον ἀξιοπρεπῆ τῆς Λατινικῆς, καὶ ἀποβαίνοντι εἰς εὐτυχὲς τέλος, τὸν Παράδεισον. Κατ' ἀντίθεσιν δὲ πρὸς τὴν χρῆσιν τῆς λέξεως Κωμῳδία ἀποκαλεῖ τὴν Αἰνειάδα Τραγῳδίαν.*

Εἰς Ὠδὴν ΙΖʹ.

1. *Τὸ τέρας τοῦτο ὁ Γηρυὼν ἐστι, φαντασιώδης πελώριος γίγας τῆς ἑλληνικῆς μυθολογίας. Χρῆται δὲ τούτῳ ὁ ποιητὴς ὡς συμβόλῳ τοῦ Δόλου· ἐφ' ᾧ καὶ ἔθετο αὐτὸν ὡς φρουρὸν ἐπὶ τοῦ κύκλου, ἐν ᾧ τιμωρεῖται ὁ Δόλος.*

60. *Διάφοροι τοκογλύφοι ὑποδείκνυνται ἐνταῦθα ὑπὸ τὰ γενεαλογικὰ παράσημα τῶν οἴκων ἑκάστου. Εἰσὶ δὲ πρῶτοι μὲν οἱ Γιαμφιλιάζοι* (Gianfigliazzi), *δεύτεροι δὲ οἱ Οὐβριάκοι* (Ubbriachi) *καὶ τρίτοι οἱ Σκροβῖνοι* (Scrovigni).

68. *Βιταλιάνος ὁ Δέντου* (Vitaliano del Denti), *τοκογλύφος ἐν Παταυΐῳ.*

72. *Ὁ ποιητὴς ἐννοεῖ τὸν Ἰωάννην Βουϊαμόντην* (Giovanni Buiamonte), *τὸν κυριάρχην ἤτοι αἴσχιστον τοκογλύφον τοῦ καιροῦ ἐκείνου.*

108. *Ὑπαινίττεται ὁ ποιητὴς τὴν μυθολογικῶς ὑπονοηθεῖσαν ἀρχὴν τοῦ Γαλαξίου.*

Εἰς Ὠδὴν ΙΗʹ.

1. *Κακόβοθρον, ἀντὶ τῆς λέξεως* Malebolge (*κακοὶ βόθροι*), *ᾗ κέχρηται ὁ ποιητής.*

29. *Ἄπειρος πληθὺς λαοῦ συνῆλθεν εἰς Ῥώμην κατὰ τὸ πρῶτον ἔτος τῆς ἀφέσεως* (*Ἰωβηλαίου*, Jubilaei), *κανονισθείσης ὑπὸ τοῦ Πάπα Βονιφακίου τοῦ Ηʹ τῷ* 1300. *Ὁ Γ. Βιλλάνης* (G. Villani) *λέγει, ὅτι διακόσιαι χιλιάδες ἦσαν σταθερῶς ἐν Ῥώμῃ δι' ὅλου τοῦ ἔτους Δρύφρακτα ἐτέθησαν ἀναμέσον τῆς γεφύρας τοῦ Ἁγίου

Ἀγγέλου, πρὸς διαίρεσιν τοῦ χειμάῤῥου δίκην προσερχομένου καὶ ἐπιστρέφοντος πλήθους τῶν προσκυνητῶν εἰς ἐπίσκεψιν τοῦ Ἁγίου Πέτρου. Τὸ δὲ ὄρος ἐστὶ τὸ Ἰανίκουλον (Janiculum), καὶ ἰδίᾳ μάλιστα τὸ μέρος, ἐφ' οὗ ἵδρυται ἡ ἐκκλησία τοῦ Ἁγίου Πέτρου. Τὸ δὲ φρούριόν ἐστι τό τοῦ Ἁγίου Ἀγγέλου.

50. Βονωνός, πωλήσας τὴν ἑαυτοῦ ἀδελφὴν Ὀβίζῳ τῷ Β΄ Ἕστης, Μαρκίωνι Φεῤῥαρίας.

61. Σανένα καὶ Ῥῆνος, ποταμίσκοι ῥέοντες παραλλήλως ἐπὶ πολὺ διάστημα· μεταξὺ δὲ αὐτῶν κεῖται ἡ Βονωνία. Τὸ δὲ Σίπα (sipa, τανῦν sipo), καταφατικόν ἐστιν ἐπίῤῥημα, ᾧ ἐχρῶντο οἱ Βονωνοὶ ἀντὶ τοῦ si, ναί, τῶν ἄλλων Ἰταλῶν. Τοιοῦτό τί ἐστι καὶ τὸ ἀττικὸν ναίχι, ὡς καὶ τὸ κοινῶς παρ' ἡμῖν ὑποκοριστικὸν Ναίσκε.

93. Ἐπὶ τῆς σφαγῆς τῶν ἀῤῥένων τῆς Λήμνου, ἡ Ὑψιπύλη ἐξηπατησε τὰς ἄλλας γυναῖκας, διασώσασα τὸν ἑαυτῆς πατέρα Θόαντα.

133. Ἡ Θαΐς, περίφημος ἑταίρα Ἀθηνῶν, ἧς γίνεται μνεία ἐνταῦθα, οὐκ ἔστιν ὡς πρὸς τὸν χαρακτῆρα ἡ αὐτὴ τῇ παρισταμένῃ ἐν τῷ Εὐνούχῳ τοῦ Τερεντίου. Αἱ λέξεις τοῦ δράματος ἔχουσιν οὕτω· "Magnas vero agere gratias Thaïs mihi?—Ingentes" (Πράξ. Γ΄, Σκην. Α΄), οἷαι καὶ μετεφράσθησαν ἐν τῷ τοῦ Δάντου κειμένῳ. Ἡ ὅλη σκηνὴ αὕτη τοῦ δράματος ἐμπαιγμός ἐστι τῶν παρασίτων· ἀλλ' ἡ Θαΐς οὐκ ἐμφανίζεται ἐν τῇ σκηνῇ, καὶ ἡ ἀποδιδομένη ὑπὸ τοῦ Δάντου τῇ ἑταίρᾳ ἀπόκρισις προφέρεται ὑπὸ τοῦ Γνάθωνος. Τὸ χωρίον τοῦτο τοῦ Τερεντίου μνημονεύεται ὑπὸ τοῦ Κικέρωνος ὡς παράδειγμα προθύμου παρασιτικῆς συναινέσεως (De Amicitiâ, XXVI.), ἔνθα ὁ Δάντης πιθανῶς ἀνέγνω αὐτό, καὶ οὐχὶ

ἐν Τερεντίῳ· καὶ τοῦτο ἐξηγεῖ πως τὴν αἰτίαν τοῦ παροράματος.

Εἰς Ὠδὴν ΙΘ΄.

1. *Σίμων, μάγος τῆς Σαμαρείας, ὃς προσενεγκὼν τῷ Ἁγίῳ Πέτρῳ χρήματα ᾐτήσατο τὴν ἐξουσίαν τοῦ διδόναι τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν. (Πράξ. Ἀπ. Κεφ. Η΄.)*

21. *Ἐν τοῖς χρόνοις τοῦ Δάντου καὶ μέχρι τοῦ* 1579· *ὑπῆρχον περὶ τὴν κεντρικὴν δεξαμενὴν τοῦ βαπτιστηρίου τοῦ Ἁγίου Ἰωάννου ἐν Φλωρεντίᾳ τέσσαρες κυκλοτερεῖς ὀπαὶ ἢ ἕδραι, ἐν αἷς ἵσταντο οἱ λειτουργοῦντες ἱερεῖς, τοῦτο μὲν ἵνα προσεγγίζωσιν εὐχερέστερον τῷ ὕδατι, τοῦτο δὲ ἵνα προφυλάττωνται ἀπὸ τῶν ἐφόδων τοῦ ἀθρόως συσσωρευομένου ὄχλου ἕνεκα τῆς βαπτίσεως πολλῶν, τελουμένης ἐν ῥηταῖς ἐποχαῖς τοῦ ἐνιαυτοῦ. Τοιοῦτό τι ὑπάρχει καὶ σήμερον ἐν Πίσῃ. Κατὰ τὸ ἔτος τῆς προεδρίας τοῦ Δάντου, παιζόντων παίδων τινῶν περὶ τὴν ἐκκλησίαν, συνέβη ἕνα τούτων κατενεχθῆναι ἐπὶ κεφαλῆς ἐν μιᾷ τῶν ὀπῶν, ἐν ᾗ συνεσφίγχθη οὕτως, ὥστε ἐκινδύνευεν ἀποπνιγῆναι. Τότε συνέῤῥευσεν ὁ λαός, καὶ ἐπειδὴ οὐκ εἶχον, τί ποιῆσαι πρὸς σωτηρίαν τοῦ παιδός, ὁ Δάντης ἐλθὼν ἀνέωξε δι' ἀξίνης τὴν ὀπὴν καὶ ἐξήγαγε τὸν παῖδα ἀβλαβῆ. Πιθανὸν ὅτι ἕνεκα τῆς πράξεως ταύτης κατηγορήθη ὁ Δάντης ὡς ἀσεβὴς καὶ ἀνοσιουργός.*

51. *Κατὰ τὸν νόμον τῆς Φλωρεντίας, οἱ δολοφόνοι ἐτιμωροῦντο κατορυσσόμενοι ζῶντες κατὰ κεφαλῆς. Διὸ καὶ τὸ σχῆμα τοῦ Δάντου, ἐγκλινομένου ὅπως ἀκούσῃ*

τὴν πρὸς τὰ ἐρωτώμενα ἀπόκρισιν, ὡμοίαζε τῷ τοῦ ἐξομολογοῦντος ἱερέως ἐπὶ τῇ ἐκτελέσει τοιαύτης ποινῆς.

53. *Ὁ ἁμαρτωλὸς ἐκλαμβάνει τὸν Δάντην ἀντὶ Βονιφακίου τοῦ Η', οὗ περιεμένετο ἡ ἄφιξις μεταξὺ τῶν Σιμωνιακῶν Παπῶν, οὐκ ἀποθανόντος ἄχρι τοῦ* 1303· *θαυμάζει δέ, πῶς ἵσταται ἔξω ὄρθιος, καὶ οὐ ῥίπτεται ἐπὶ κεφαλὴν εἰς τὴν ὀπὴν πρὸς τίσιν τῶν κακουργημάτων αὐτοῦ. Ὁ ἀληθὴς χρόνος τοῦ θανάτου τοῦ Βονιφακίου ἔγνωσται τῷ ἁμαρτωλῷ διὰ τῆς δυνάμεως τοῦ προβλέπειν τὰ μέλλοντα, ἣν ἔχουσιν αἱ ψυχαί (Ι',* 100)· *καὶ τοῦτο δηλοῖ ἡ φράσις, "ἐψεύσθη μοι τὸ γραπτὸν κατὰ πόλλ' ἔτη." Ἡ δὲ καλὴ Κυρία ἐστὶν ἡ Ἐκκλησία, ἀπατηθεῖσα καὶ ὑβρισθεῖσα δι' ὧν τρόπων ὁ Βονιφάκιος διεπράξατο τὰ τῆς ἐκλογῆς αὐτοῦ ὡς διαδόχου Κελεστίνου τοῦ Ε', καὶ διῴκησε μετὰ ταῦτα τὰ τῆς Ἀρχιερατείας.*

70. *Οὗτος, δηλαδὴ ὁ προῤῥηθεὶς ἁμαρτωλός, ὁ ἐκλαβὼν τὸν Δάντην ἀντὶ τοῦ Βονιφακίου, Νικόλαός ἐστιν ὁ Γ', ἐκ τοῦ οἴκου τῶν Ὀρσίνων* (Orsini ἢ Ursini, *Ἄρκτειοι*), *διαβόητος ἐπὶ Σιμωνισμῷ καὶ Ἀνεψιασμῷ* (Népotisme)· *περιμένει δὲ ἕως ἂν βυθισθῇ βαθύτερον ἐπὶ τῇ ἀφίξει τοῦ Βονιφακίου. Ὁ Πάπας Νικόλαος ὁ Γ' ἀπέθανε τῷ* 1281· *διὸ καὶ ἔμεινεν ἐν τῷ στόματι τῆς ὀπῆς ἐπὶ δεκαεννέα ἔτη, ἐν ᾧ μεταξὺ τοῦ θανάτου τοῦ Βονιφακίου τῷ* 1203 *καὶ τῆς ἀφίξεως Κλήμεντος τοῦ Ε', τοῦ μετ' αὐτὸν περιμενομένου Σιμωνιακοῦ Πάπα, τελευτήσαντος τῷ* 1214, *ἐλείποντο μόνον ἐνιαυτοὶ ἕνδεκα.*

82. *Βερτράνδος ὁ Γόθος* (Bertrand de Goth), *Οὐάσκων* (Gascon), *Ἀρχιεπίσκοπος Βουρδιγάλης* (Bordeaux), *ἀνηγορεύθη Πάπας ὑπὸ τὸ ὄνομα Κλήμης ὁ Ε' τῷ* 1305. *Ἐπρίατο τὴν τιάραν ἐφ' οἷς ἔθετο ὅρους Φίλιππος ὁ Κα-*

λός, ὃς παντοίαις σκευωρίαις ἐνήργησε τὸν διορισμὸν αὐτοῦ εἰς τὴν χηρεύουσαν ἕδραν. Μετήνεγκε δὲ τὴν Παπικὴν Αὐλὴν ἐκ Ῥώμης εἰς Αὐενιῶνα (Avignon).

84. *Ἰάσων "ὑπενόθευσε τὴν ἀρχιερωσύνην, ἐπαγγειλάμενος τῷ βασιλεῖ (Ἀντιόχῳ) δι' ἐντεύξεως ἀργυρίου τάλαντα ἑξήκοντα πρὸς τοῖς διακοσίοις, καὶ προσόδου τινὸς ἄλλης τάλαντα ὀγδοήκοντα."* (2 *Μακ. Δ*΄, 7.)

99. *Νικόλαος ὁ Γ΄, ἐπαιρόμενος ἐπὶ τῷ πλούτῳ αὐτοῦ, ἐβούλετο τυχεῖν ἐπιγαμβρίας τοῦ ἑαυτοῦ οἴκου πρὸς τὸν τοῦ Καρόλου Ἀνδεγαυέων· ἀλλ' ἀποῤῥιφθείσης τῆς προτάσεως ταύτης, κατέστη πικρὸς αὐτῷ ἐχθρός.*

111. *Κατὰ τὴν ὑπὸ τοῦ ποιητοῦ γενομένην ἐνταῦθα ἑρμηνείαν τοῦ χωρίου τούτου τῆς Ἀποκαλύψεως (Κεφ. ΙΖ΄), αἱ ἑπτὰ κεφαλαὶ σημαίνουσι τὰ ἑπτὰ μυστήρια, καὶ τὰ δέκα κέρατα τὰς δέκα ἐντολάς, ὧν αἱ ἀγαθοεργίαι ἀνήκουσιν εἰς τὴν Ἐκκλησίαν, ὅταν ὁ σύζυγος αὐτῆς, δηλαδὴ ὁ Πάπας, ᾖ ἐνάρετος.*

115. *Ὁ ποιητὴς ὑπαινίττεται τὴν ψευδῶς ἐπινοηθεῖσαν ἰδέαν τῆς δῆθεν γενομένης πρὸς τὸν Πάπαν δωρεᾶς τῆς Ἰταλίας ὑπὸ Κωνσταντίνου τοῦ Μεγάλου.*

Εἰς Ὠδὴν Κ΄.

28. *Διὰ τῆς ἐκφράσεως ταύτης ὁ ποιητὴς ἐννοεῖ, ὧδε ἔλεός ἐστι τὸ μὴ αἰσθάνεσθαι ἔλεον.*

31. *Οὗτος ἦν Ἀμφιάραος, εἷς τῶν ἑπτὰ ἐπὶ Θήβας. Ἦν δὲ οἰωνοσκόπος, καὶ ἐχρησμοδότει μετὰ θάνατον. Τὸ χωρίον ἐλήφθη ἰδίᾳ ἐκ τῆς Θηβαΐδος Στατίου. (Η΄,* 84, *κφξ.)*

40. *Τειρεσίας, ὁ περίφημος μάντις τῶν Θηβῶν. Μετ-*

εμορφώθη ἐξ ἀνδρὸς εἰς γυναῖκα, καὶ μετὰ ἑπτὰ ἔτη ἀνέλαβε τὴν προτέραν μορφήν, ὡς μυθολογεῖται ἐνταῦθα.

46. *Ἀρόντας ἢ Ἀρούντας* (*λατινιστὶ* Aruns, *παρὰ Διον. Ἁλικ. Ἄρων, καὶ παρὰ Πλουτ. Ἄῤῥων*), *μάντις Τυῤῥηνός.* (*Λουκ. Φαρσ. Α'*, 586.)

55. *Μαντώ, θυγάτηρ Τειρεσίου, μάντις καὶ αὐτή, κατέλιπε τὰς Θήβας (πόλιν τοῦ Βάκχου), ὅτε ἐδουλώθη ὑπὸ Κρέοντος. Τὸ ἐφεξῆς χωρίον περιγράφει τὴν ἀρχὴν τῶν ὑδάτων τοῦ Μιγκίου ἐν ταῖς Ἀπεννίνοις Ἄλπεσι, καὶ τὸν ῥοῦν αὐτῶν διὰ τῆς λίμνης Βηνάκου, τῆς καὶ Γάρδας* (Lago di Garda) *εἰς Μάντυαν, πόλιν λόγου ἀξίαν ὡς πατρίδα τοῦ Βιργιλίου. Αἱ ἐπισκοπικαὶ Διοικήσεις Τριδέντου, Βριξιῶν* (Brescia) *καὶ Βηρώνης συνενοῦνται εἰς μέρος τι καλούμενον Λειμὼν τῆς Πείνης* (Prato della Fame).

95. *Ἀλβέρτος ὁ Κασαλόδου* (Alberto di Casalodi), *Κύριος Μαντύας, ἐπείσθη ὑπὸ Πιναμόντου τοῦ ἐκ Βουακόσσων* (Pinamonte de' Buonacossi), *ὅπως ἐξορίσῃ τινὰς τῶν ὑπὲρ αὐτοῦ διακειμένων εὐγενῶν· μεθ' ὃ οἱ ἐπίλοιποι ἐθανατώθησαν ὑπὸ τῆς δημώδους μερίδος, ἀρχηγὸν ἐχούσης τὸν Πιναμόντην, ὃς κατέσχε τὴν Μάντυαν δι' ἑαυτόν.*

102. *Ἐσβηκὼς ἄνθραξ, τοῦτ' ἔστι, κενός, οὐδεμιᾶς προσοχῆς ἄξιος. Δάντειος ἡ φράσις· ῥητέον ὅμως ὅτι ἡ λέξις ἄνθραξ ἐκλαμβάνεται καὶ παρ' ἡμῖν πρὸς ἔκφρασιν κενῆς ἐλπίδος, ὡς ἐν τῇ παροιμίᾳ τῇ ἐπὶ τῶν διαψευσθέντων ἐφ' οἷς ἤλπισαν, "Ἄνθρακες ὁ θησαυρός."*

112. *Αἰν. Β'*, 114.

116. *Μιχαὴλ Σκόττος* (Sir Michael Scott, of Balwearie). *Ἀπέθανε τῷ* 1291. *Ἦν ἀστρολόγος Φρεδερί-*

κου τοῦ Β΄. Μετέφρασε καὶ ὑπεμνηματίσατο τὸν Ἀριστοτέλη. Ἔγραψε δὲ καὶ πολλὰς πραγματείας περὶ φυσικῆς ἐπιστήμης.

118. *Γουΐδος Βονάτης* (Guido Bonatti), *ἀστρολόγος ἐκ Φόρου Λιβίου, ᾧ συμβούλῳ ἐχρῆτο Γουΐδος ὁ Μοντεφέλτρου* (Guido da Montefeltro) (*ΚΖ΄.*). *Τινὲς τῶν τερατολόγων λέγουσιν, ὅτι κατεσκεύασεν ἀνθρωπόμορφον ὀρειχάλκινον αὐτόματον μηχάνημα, ἀποκρινόμενον πρὸς τὰς ἀπευθυνομένας αὐτῷ ἐρωτήσεις. Μνημονεύεται δὲ ὡς συγγραφεὺς ἀστρολογίας ὑπὸ* Sir T. Browne,—Vulgar Errors, *Δ΄*, 12.—*Συγγράμματά τινα αὐτοῦ ἐξεδόθησαν τύποις, καὶ ἡ περὶ ἀστρολογίας πραγματεία αὐτοῦ μετεφράσθη ὑπὸ* William Livy, *ἄγγλου ἀστρολόγου, τῷ* 1676.

Ἀσδέντης, ὑποδηματοποιὸς ἐν Πάρμῃ, καταλιπὼν τὸ ἐπάγγελμα αὐτοῦ καὶ μετελθὼν τὴν μαντείαν.

125. *Κάϊν σημαίνει ἐνταῦθα τὴν Σελήνην κατὰ πρόληψίν τινα τοῦ κοινοῦ λαοῦ, νομίζοντος τὰς ἐν τῇ σελήνῃ σκιώδεις κηλῖδας, παρεμφερεῖς ἔῆθεν οὔσας ἀνθρωπίνῳ προσώπῳ, παριστάναι τὸν Κάϊν φέροντα δέσμην ἀκανθῶν. Τινὲς τῶν ἑρμηνευτῶν τοῦ Δάντου, ὡς ἐκ τῆς θέσεως τῆς σελήνης μεταξὺ τῶν δύο ἡμισφαιρίων ἐγγὺς τοῦ Ὠκεανοῦ ὑπὸ τὴν ἐν Ἱσπανίᾳ Ἴσπαλιν, συμπεραίνουσι τὴν ῥητὴν ὥραν, καθ' ἣν διαλέγονται οἱ δύο ποιηταί.*

Εἰς Ὠδὴν ΚΑ΄.

37. *Κακώνυχες ἀντὶ τῆς λέξεως* Malebranche (*Κακοὶ ὄνυχες*), *ᾗ κέχρηται ὁ ποιητής.*

38. *Εἷς τῶν Γερουσιαστῶν τῆς Λούκης παρὰ τὸν Αἴσαρα, ἀρχαῖον ὄνομα τοῦ ποταμοῦ, νῦν καὶ παρὰ τῷ ποιητῇ καλουμένου* Serchio. *Οἱ Λουκαῖοι σεβάζονται ἔτι καὶ νῦν τὴν παρ' αὐτοῖς Ἁγίαν Ζίταν, μοναχὴν γεννηθεῖσαν ἐν κώμῃ τινὶ οὐ μακρὰν τῆς Λούκης, τελευτήσασαν τῷ* 1272 *ἢ* 1278 *καὶ μετὰ θάνατον κανονισθεῖσαν.*

41. *Βοντοῦρος ὁ ἐκ Δάτων* (Bonturo de' Dati), *ὁ παραδοὺς τὴν ἑαυτοῦ πατρίδα τοῖς Πισαίοις ἀντὶ χρημάτων, ὃν ὁ ποιητὴς εἰρωνευόμενος ἐξαιρεῖ δῆθεν τῶν ἄλλων φενάκων.*

48. *Τὸ περίφημον τοῦ Σωτῆρος ἀπεικόνισμα, τὸ ἐν τῇ μητροπόλει τῆς Λούκης· "Μὰ τὸ ἅγιον πρόσωπον τῆς Λούκης" ἦν ἀγαπητός τις ὅρκος Γουλιέλμου τοῦ Κατακτητοῦ.*

76. *Κάκουρος ἀντὶ τῆς παρὰ τῷ ποιητῇ λέξεως* Malacoda (*Κακὴ-Οὐρά*).

95. *Καπρώνα, φρουρίον Πισαίων παρὰ τὸν Ἄρνον, ἐπολιορκεῖτο τῷ* 1290 *καὶ ἡλώθη ὑπὸ τῶν Λουκαίων καὶ ἄλλων Γουέλφων τῆς Τυῤῥηνίας. Στερουμένη ὕδατος, ἡ φρουρὰ ἐξῆλθε πιστὰ λαβοῦσα· ἀλλ' αἴφνης περιεκυκλώθη ὑπὸ ἀγροτικοῦ λαοῦ κραυγάζοντος· "Κρεμασθήτωσαν, κρεμασθήτωσαν." Ἴσως παρῆν ἐπὶ τοῦ δράματος τούτου ὁ Δάντης μετὰ τοῦ Φλωρεντίνου στρατοῦ.*

114. *Τοῦτ' ἔστι, καταῤῥαγεὶς ὑπὸ τοῦ κατὰ τὴν ἐννάτην ὥραν συμβάντος σεισμοῦ ἐπὶ τοῦ θανάτου τοῦ Χριστοῦ. Ἡ πρόσθεσις ἐτῶν* 34 *(τῆς ἡλικίας τοῦ Χριστοῦ ἐπὶ τῆς σταυρώσεως) τῷ ἔτει* 1266 *δίδωσι τὸ ἔτος* 1300, *καθ' ὃ ἐγένετο ἡ εἰς Ἅδου κατάβασις τοῦ Δάντου, ἀρξαμένη κατὰ τὴν ἡμέραν τῆς Μεγάλης Παρασκευῆς.*

Εἰς Ὠδὴν ΚΒ΄.

7. *Πύργος κινούμενος ἐπὶ τροχῶν παρηκολούθει τῷ στρατῷ τῶν Φλωρεντίνων καὶ συμμάχων εἰς τὸ πεδίον τῆς μάχης, καὶ ἐξ αὐτοῦ ἐδίδοντο τῷ στρατῷ τὰ σημεῖα διὰ κώδωνος· ὁ δὲ κώδων ἐκρούετο καὶ δι' ἑνὸς ὅλου μηνὸς πρὸ τῆς ἐκστρατείας.*

52. *Τυπάλδος* (Tebaldi, Thibauld) *ὁ Β΄, βασιλεὺς Ναυάῤῥας, ἀπέθανε τῷ* 1270. *Κιάμπολος* (Ciampolo) *ἐκ Ναυάῤῥας ἦν, ὡς διεσώθη ἐκ παραδόσεως, ὁ ἐργάτης τῶν κλωπειῶν τούτων.*

81. *Φρα-Γομίτας* (Fra-Gomita), *Σαρδῷος μοναχός, δολίως χρησάμενος τῇ πίστει Νίνου τοῦ Βισκοντῶν* (Nino de' Visconti), *οὗ ἦν ἐπίτροπος, ὡς Κριτὴς ἢ Διοικητὴς Γαλλούρας, μιᾶς τῶν τεσσάρων διοικήσεων, Γαλλούρας, Καλιάρης, Ἀλβορέας καὶ Λογοδώρου, δι' ὧν ἐκυβέρνων οἱ Πισαῖοι τὴν νῆσον. Καταδικασθεὶς ἐπὶ προδοσίᾳ πρὸς τὸν ἑαυτοῦ κύριον, ὡς πωλήσας τὴν ἐλευθερίαν τοῖς ἐμπιστευθεῖσιν εἰς τὴν φρουρὰν αὐτοῦ αἰχμαλώτοις, ἔδωκε δι' ἀγχόνης δίκην τῶν πεπραγμένων.*

88. *Μιχαὴλ Ζάγκας, Κριτὴς ἢ Διοικητὴς Λογοδώρου, ἦν ἐπιμελητής, ἔπειτα δὲ σύζυγος τῆς Ἀδελασίας* (Adelasia), *χήρας Ἔνζου, ἀντιβασιλέως Σαρδοῦς καὶ νόθου υἱοῦ Φρεδερίκου τοῦ Β΄.*

Εἰς Ὠδὴν ΚΓ΄.

6. *Ὁ περὶ οὗ ὁ λόγος μῦθος, καθ' ὃν βάτραχος ἐφεῖλκε μῦν ἐπὶ ὕδατος, ἀλλ' ἀμφότεροι ἀνηρπάγησαν ὑπὸ ἰκτίνου, οὐκ ἔστι τῶν Αἰσωπείων.*

7. *Αἱ ἐν τῷ κειμένῳ δύο λέξεις* mo *καὶ* issa *εἰσὶ συνώνυμοι, σημαίνουσαι ἤδη καὶ νῦν.*

66. *Μία τῶν ποινῶν Φρεδερίκου τοῦ Β' ἦν τὸ περιελίσσειν σινδόσι μολυβδίναις τοὺς πολιτικοὺς ἐνόχους καὶ ῥίπτειν αὐτοὺς ἐντὸς πεπυρωμένων λεβήτων.*

103. *Φρᾶτρες Γαυδέντες* (Frati Godenti, Fratres Gaudentes, *Ἀδελφοὶ Ἐνήδονοι*), *ὄνομα δοθὲν χλευαστικῶς τοῖς ἀδελφοῖς τοῦ Στρατιωτικοῦ τάγματος τῆς Εὐλογημένης Μαρίας, συσταθὲν ὑπὸ Οὐρβανοῦ τοῦ Δ'* (1261–1264), *ἀλλ' οὐ διατηρηθὲν ἐπὶ πολὺν χρόνον. Ὁ κανονισμὸς τοῦ τάγματος ἐπέτρεπε τοῖς ἀδελφοῖς τὸν γάμον, τὴν ἐν κόσμῳ βιοτὴν καὶ τὴν κατοχὴν ἰδιοκτήτου περιουσίας. Ναπολέων Καταλάνος καὶ Λοδερίγκος τῶν Ἀνδάλων* (Loderingo des Andalos), *ὁ πρῶτος Γιβελῖνος, ὁ δεύτερος Γουέλφος, ἀμφότεροι δὲ ἐκ Βονωνίας, περιεβλήθησαν ὑπὸ τῶν Φλωρεντίων τὴν Εἰρηναρχίαν, πρώτην ἐν τῇ πόλει ἀρχήν, τῷ* 1266, *παρὰ τὴν καθεστηκυῖαν τάξιν τοῦ ἐγχειρίζειν τὴν ἀρχὴν ταύτην ἑνὶ μόνῳ. Ἔπραξαν δὲ τοῦτο οἱ Φλωρεντῖνοι, παρ' οἷς ἡ μερὶς τῶν Γιβελίνων ἦν τότε ἐν ἰσχύϊ, ἕνεκα τῆς ὑπὸ τὸν Μαμφρέδον ἐν Βενευέντῳ ἥττης τῆς ἑτέρας μερίδος, ὡς ἐπιθυμοῦντες τὴν ἐπάνοδον τῆς εἰρήνης καὶ εὐταξίας. Ἀλλ' οἱ δύο οὗτοι συνάρχοντες συνώμοσαν μυστικῶς μετὰ τῶν Γουέλφων, καὶ οἱ Γιβελῖνοι ἐξώσθησαν τῆς πόλεως. Αἱ δὲ οἰκίαι τῆς μεγάλης τῶν Οὐβερτῶν πατριᾶς, κείμεναι ἐν τῇ συνοικίᾳ τῇ καλουμένῃ Γαρδίγκῳ, ἐπυρπολήθησαν καὶ κατεστράφησαν. Σημειωτέον δὲ ὅτι κατὰ τοὺς καιροὺς ἐκείνους ἔθος ἦν ταῖς ἐλευθέραις πόλεσι τῆς Ἰταλίας διαπιστεύεσθαι τὴν ἐκτελεστικὴν ἐξουσίαν ξένοις πολί-*

ταις, ἵνα μὴ διατελῇ ἡ διοίκησις ὑπὸ τὴν ἐπιῤῥοὴν ἐγχωρίων ἀντιζήλων μερίδων.

115. *Ὁ Καϊάφας, Ἄννας καὶ ἄλλοι δικασταὶ τοῦ Χριστοῦ ἐτέθησαν ὑπὸ τοῦ ποιητοῦ ἐσταυρωμένοι ἐν τῷ Ἅδῃ.*

Ὁ Καϊάφας· "Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ, εἶπεν αὐτοῖς· ὑμεῖς οὐκ οἴδατε οὐδέν· οὐδὲ διαλογίζεσθε, ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται." (*Ἰωάν. ΙΑ'*, 49-50.)

121. *"Καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου."* (*Ἰωάν. ΙΗ'*, 13.)

124. *Ὁ Βιργίλιος ἐθαύμαζε βλέπων τὸν Καϊάφαν καὶ Ἄνναν, οὐκ ὄντας ἐκεῖ κατὰ τὴν προτέραν αὐτοῦ εἰς τὸν Ἅδην κατάβασιν.*

144. *Πατὴρ ψεύδους.. Ὅρα Ἰωάν. Η'*, 44.

Εἰς Ὠδὴν ΚΔ'.

5. *Δηλαδὴ τῆς χιόνος.*

6. *Τῆς πρὸς τὴν χιόνα ὁμοιότητος τῆς πάχνης ἀφανιζομένης ταχέως ἐπὶ τῆς ἐκτήξεως.*

9. *"Μηρὼ πληξάμενος."—Ὁμ. Ἰλ. Π*, 125.

82. *Μίμησις τοῦ περὶ ὄφεων χωρίου τοῦ Λουκανοῦ.* (*Φαρσ. Θ'*, 706—21.)

93. *Τὸ ἡλιοτρόπιον ἢ αἱματίτης, λίθος πολύτιμος ἔχων, κατ' ἀρχαίαν τινὰ πρόληψιν, τὴν ἰδιότητα τοῦ ἀποτελεῖν ἀφανεῖς τοὺς φέροντας αὐτόν. Μνείαν πρῶτος ποιεῖται τοιαύτης προλήψεως ὁ Βοκκάκιος ἐν τῷ διηγήματι τοῦ Καλανδρίνου·* (*Δεχημ. Η'*, 3.)

106. *Ὡς ὁμολογεῖ Ὀβίδιος, Μεταμορφ. ΙΕ'*, 392.

125. *Βάννης Φούκκης* (Vanni Fucci), *νόθος υἱὸς Φουκκίου τοῦ ἐκ Λαζάρων* (Fuccio de' Lazzari), *εὐγενοῦς Πιστωρίας* (Pistoja), *ὑφείλετο τὰ σκεύη καὶ κοσμήματα ἐκ τοῦ ἱεροφυλακίου τῆς Μητροπόλεως τῷ* 1293· *κατηγόρησε δὲ ψευδῶς, ὡς αὐτουργοῦ τῆς ἱεροσυλίας Ῥαμπίνου φίλου αὐτοῦ, παρ' ᾧ παρακατέθετο τὰ κλαπέντα. Εἰκάζεται δὲ ὅτι ὁ ἱερόσυλος οὗτος ἦν ἤδη γνωστὸς τῷ Δάντῃ δι' ἃς κατειργάσατο βιαίας πράξεις. Προλέγει τῷ Δάντῃ τὴν αἱματηρὰν νίκην, ἣν κατηνέγκατο κατὰ τῶν Λευκῶν ὁ Μαρκίων Μάρκελλος ἢ Μοροέλλος Μαλασπίνας* (Marcello ἢ Moroello Malaspina), *ἀρχηγὸς τῶν Μελάνων ἐπὶ τοῦ Πικηνοῦ πεδίου, πλησίον τῆς Πιστωρίας. Τὸ ἑπόμενον ἔτος οἱ Λευκοὶ ἐξώσθησαν τῆς Φλωρεντίας ὑπὸ Καρόλου Οὐαλεσιέων, καὶ ὁ Δάντης ἐξωρίσθη.*

Εἰς Ὠδὴν ΚΕ'.

12. *Ἡ θηριώδης φύσις τῶν κατοίκων τῆς Πιστωρίας ἀνεφέρετο ὑπὸ τοῦ κοινοῦ λαοῦ εἰς τὴν ἐκ τῶν ὀπαδῶν τοῦ Κατιλίνου ὑποτεθειμένην καταγωγὴν αὐτῶν.*

15. *Τοῦτ' ἔστι τὸν Καπανέα.*

25. *Περὶ Κάκου ὅρα Βιργ. Αἰν. Η'.*

43. *Κιάμφας ὁ ἐκ Δωνάτων* (Ciamfa de' Donati), *λῃστὴς Φλωρεντῖνος, οὗ, ὡς καὶ τῶν ὀπαδῶν αὐτοῦ, τὸ ὄνομα μόνον διεσώθη.*

68. *Ἄγνολος Βρουνελλέσκης* (Agnolo Brunelleschi), *λῃστὴς Φλωρεντῖνος.*

83. *Οὗτος ἦν Γουέρκιος Καυαλκάντης* (Guercio Cavalcante), *λῃστὴς καὶ αὐτὸς Φλωρεντῖνος.*

85. *Δηλαδὴ τὸν ὀμφαλόν.*

94. *Φαρσ. Θ'*, 768 *κφξ.*

97. *Ἡ μεταμόρφωσις τῆς Ἀρεθούσης εἰς κρήνην περιγράφεται ἐν ταῖς Μεταμορφώσεσι, Ε'*, 572—671· *ἡ δὲ τοῦ Κάδμου εἰς ὄφιν, Δ'*, 563—694.

140. *Βουῶσος ὁ τῶν Ἀβάτων* (Buoso degli Abati), *ληστὴς Φλωρεντῖνος.*

148. *Πούκκιος Σκιαγκάτος* (Puccio Sciancato), *ληστὴς Φλωρεντῖνος.*

151. *Ὁ δ' ἄλλος, τοῦτ' ἔστιν ὁ τρίτος, ἦν Γουέρκιος Καυαλκάντης ἐπίσης Φλωρεντῖνος.*

Γαυΐλη, κώμη πλησίον τῆς Φλωρεντίας ἐν τῇ κοιλάδι τοῦ Ἄρνου, ἔνθα ἐφονεύθη ὁ Γουέρκιος Καυαλκάντης, οὗ οἱ συγγενεῖς καὶ φίλοι, πρὸς ἐκδίκησιν τοῦ θανάτου αὐτοῦ, κατέσφαξαν τοὺς κατοίκους τῆς κώμης ταύτης, ἣ καὶ θρηνεῖ ἐπὶ τῷ δυστυχήματι.

Εἰς Ὠδὴν ΚΣΤ'.

4. *Ὁ Κιάμφας, Ἄγνολος, Γουέρκιος Καυαλκάντης, Βουῶσος, καὶ Πούκκιος Σκιαγκάτος.*

9. *Αἱ ἄλλαι πόλεις χαρήσονται βλέπουσαι τὰς ἐπισκηψούσας τῇ Φλωρεντίᾳ συμφοράς. Τῷ* 1300 *ἤρξαντο αἱ μεταξὺ Μελάνων καὶ Λευκῶν στάσεις. Κατὰ Μάϊον* 1304 *κατέπεσεν ἡ ἐπὶ τοῦ Ἄρνου ξυλίνη γέφυρα ὑπὸ τὸ βάρος τοῦ ἐπισωρευθέντος ἐπ' αὐτῆς πολυπληθοῦς λαοῦ πρὸς θέαν δράματος τοῦ Ἅδου καὶ τῶν ἐν αὐτῷ βασάνων. Κατὰ Ἰούνιον τοῦ αὐτοῦ ἔτους μεγάλη πυρκαϊὰ κατέστρεψεν ὑπὲρ τὰ* 1700 *οἰκοδομήματα, σὺν οἷς ἠφανίσθησαν πολλαὶ περιουσίαι καὶ ἐμπορεύματα.*

24. "Ἐμαυτῷ μὴ φθονεῖν με·" κατὰ λέξιν μετάφρασις τῶν λόγων τοῦ ποιητοῦ· "ch' io stesso nol m' invidi." Ὁ δὲ νοῦς· Ἵνα, εἰ ἡ ἐπίῤῥοια αἰσίου τινὸς ἀστέρος, ἢ αὐτὴ ἡ Θεία Πρόνοια ἔδωκέ μοι ἔξοχον εὐφυΐαν, μὴ φθονῶ αὐτὸς ἐμαυτῷ, ὡς φθονήσειεν ἄν τις ἄλλῳ ἔχοντι τοιοῦτο πλεονέκτημα καὶ ποιήσαντι ἐνάρετον, οὐχὶ δὲ κακὴν χρῆσιν αὐτοῦ· δηλαδή, ἵνα μὴ ἀφαιρέσω ἀπ' ἐμαυτοῦ τἀποτελέσματα τοῦ πλεονεκτήματος καὶ στερηθῶ αὐτῶν, καί, τὸ χείριστον, καταστήσω αὐτὰ ἐπιβλαβῆ. Ἡ ἠθικὴ αὕτη σκέψις ὑπηγορεύθη τῷ ποιητῇ ἐκ τῆς ἀναμνήσεως ὅσων εἶδεν ἐν τῷ ὀγδόῳ βόθρῳ, οὗ ἄρχεται ἡ περιγραφή, ἔνθα κολάζονται οἱ κακῶς χρησάμενοι τῇ δοθείσῃ αὐτοῖς φυσικῇ εὐφυΐᾳ καὶ νοητικῇ ὑπεροχῇ.

34. Ὁ Προφήτης Ἐλισαιέ· "Καὶ ἐγένετο αὐτῶν πορευομένων ἐπορεύοντο καὶ ἐλάλουν· καὶ ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρός, καὶ διέστειλαν ἀναμέσον ἀμφοτέρων· καὶ ἀνελήφθη Ἡλιοὺ ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν.

"Καὶ ἀνέβη (Ἐλισιαιὲ) ἐκεῖθεν εἰς Βαιθήλ· καὶ ἀναβαίνοντος αὐτοῦ ἐν τῇ ὁδῷ, καὶ παιδάρια μικρὰ ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ κατέπαιζον αὐτοῦ, καὶ εἶπον αὐτῷ ἀνάβαινε, φαλακρέ, ἀνάβαινε, φαλακρέ.

"Καὶ ἐξένευσεν ὀπίσω αὐτῶν, καὶ εἶδεν αὐτά, καὶ κατηράσατο αὐτοῖς ἐν ὀνόματι Κυρίου, καὶ εἶπε· τέκνα παραβάσεως καὶ ἀργίας. Καὶ ἰδοὺ ἐξῆλθον δύο ἄρκοι ἐκ τοῦ δρυμοῦ, καὶ ἀνέῤῥηξαν ἀπ' αὐτῶν δύο καὶ τεσσαράκοντα παῖδας." (Βασιλ. Βιβλ. Δ'. Κεφ. Β', 11 23, 24.)

54. Αἱ φλόγες τῆς ἐπικηδείου πυρᾶς τῶν ἀδελφῶν Ἐτεοκλέους καὶ Πολυνείκους διηρέθησαν εἰς δύο, δεικνυ-

ούσας οὕτω τὴν πρὸς ἀλλήλους ὑπάρχουσαν ἔχθραν. (*Στατ. Θηβ. ΙΒ'*, 431—432.)

. . . . tremuere rogi, et novus advena bustis
Pellitur: exundant diviso vertice flammæ,
Alternos que apices abrupta luce coruscant.

60. *Τῆς Τροίας ἁλούσης τῷ τεχνάσματι τοῦ δουρείου ἵππου, ὁ Αἰνείας κατέλιπε τὴν πατρίδα, καὶ ἀπελθὼν ἔκτισε τὴν Ῥώμην, καὶ ἐγένετο ἐν Ἰταλίᾳ πατὴρ τοῦ Ῥωμαϊκοῦ ἔθνους.*

62. *Ὁ Ὀδυσσεύς, ἀνευρὼν τὸν Ἀχιλλέα κεκρυμμένον ἐν Σκύρῳ, πείθει αὐτὸν στρατεύεσθαι ἐπὶ Τροίαν, καταλιπόντα τὴν Δηϊδάμειαν παρὰ τῷ πατρὶ αὐτῆς Λυκομήδει, βασιλεῖ τῆς νήσου.*

63. *Τὸ Παλλάδιον ἐκλάπη ὑπὸ Διομήδους καὶ Ὀδυσσέως.*

92. *Ἐκ τοῦ ὀνόματος τῆς τροφοῦ τοῦ Αἰνείου, καλουμένης Καιήτης. Αἰν. Ζ'*, 1.

99. *Ὁ ποιητὴς αἰνίττεταί πως τὸν γνωστὸν στίχον τοῦ Ὁμήρου·*

"Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω." (Ὀδ. Α., 3).

μεταφρασθέντα ὑπὸ Ὁρατίου οὑτωσί·

"Qui mores hominum multorum vidit et urbes."

117. *Ἡ λαμπρὰ αὕτη διήγησις τοῦ Ὀδυσσέως περιέχει προαίσθησιν περίεργον τῶν περὶ τὸ τέλος τοῦ δεκάτου πέμπτου αἰῶνος μεγάλων ἀνακαλύψεων.*

141. *Ἀντὶ τοῦ, "ὡς Θεῷ δόξαν." Ὁ ποιητὴς ἐποιήσατο χρῆσιν τῆς λέξεως ἄλλῳ, ἵνα ὑποδείξῃ, ὡς ἔοικε, τὴν λύπην τοῦ Ὀδυσσέως, οὐ τολμῶντος προφέρειν τὸ ὄνομα τοῦ Θεοῦ, ὃν ζῶν οὐκ ἔγνω. Ὅτι δὲ ὁ Ὀδυσσεὺς*

ἀπώλετο πλέων διὰ τοῦ Ὠκεανοῦ, τοῦτο ἀναφέρεται παρὰ Πλινίῳ καὶ Σολίνῳ.

Εἰς Ὠδὴν ΚΖ'.

4. *Ὁ περιειλιγμένος ἐν τῇ φλογὶ ταύτῃ ἐστὶ Γουΐδος ὁ ἐκ Μοντεφέλτρου* (Guido da Montefeltro).

7. *Ὁ περίφημος χάλκινος ταῦρος, ὃν κατεσκεύασεν ὁ Πέριλλος ἢ Περίλαος, προσενεγκὼν αὐτὸν Φαλάριδι, τυράννῳ Ἀκραγαντίνων ἐν Σικελίᾳ, καὶ ἐν ᾧ πρῶτος ἐγκλεισθεὶς ἐβασανίσθη κατὰ διαταγὴν τοῦ τυράννου αὐτὸς οὗτος ὁ τεχνίτης.*

28. *Ῥωμάνοι, Ῥωμανία, παρὰ τῷ ποιητῇ* Romagnuoli, Romagna.

30. *Ἡ πόλις Μοντεφέλτρον κεῖται μεταξὺ Οὐρβίνου ἐν Ῥωμανίᾳ καὶ τῶν πηγῶν τοῦ Θύμβριδος ἢ Τιβέρεως ἐν τοῖς Ἀπεννίνοις.*

41. *Ὁ οἶκος τῶν Πολεντῶν* (da Polenta), *Κυρίων Ῥαυέννης καὶ Φικόκλης, τῆς πάλαι μὲν οὕτω, παρὰ δὲ τῷ ποιητῇ καλουμένης Κερβίας* (Cervia). *Ἔφερε δὲ ἀετὸν ὡς γενεαλογικὸν παράσημον. Ἡ Φραγκίσκη Ἀριμίνου* (de' Rimini) *ἦν ἐκ τοῦ οἴκου τούτου, εἰς ὃν ἀνῆκε καὶ Γουΐδος Νοβέλλος ὁ Πολέντας, ὁ ἐν τῇ ἐξορίᾳ ἔσχατος καὶ φίλτατος φίλος τοῦ Δάντου.*

43. *Ἐννοεῖ ὁ ποιητὴς τὴν πόλιν Φόρον Λιβίου. Ἡ πόλις αὕτη ἐπολιορκεῖτο ἐπὶ ἓν σχεδὸν ἔτος ὑπὸ στρατοῦ Γουελφικοῦ, συντελέσαντος πρὸς τοῦτο καὶ τοῦ Πάπα Μαρτίνου τοῦ Δ' δι' ἀποστολῆς Γαλλικῶν τινῶν στρατευμάτων. Ἐλύθη δὲ ἡ πολιορκία μετὰ μεγάλην σφαγὴν ὑπὸ Γουΐδου τῷ* 1282. *Τῷ* 1296 *ὁ Γουΐδος*

ἐγένετο Σχοινίτης (Cordigliero), *ἤτοι φράτηρ Φραγκισκανός. Ἡ δὲ πόλις Φόρον Λιβίου περιῆλθεν εἰς τὴν κυριότητα τῶν Ὀρδελάφων* (Ordelaffi), *φερόντων ὡς παράσημον χλωρὸν (πράσινον) γαμψώνυχα λέοντα.*

46. *Ὁ γέρων Μαλατέστας καὶ ὁ υἱὸς αὐτοῦ Μαλατεστῖνος* (Malatestino), *Κύριοι τοῦ φρουρίου Βεῤῥουκίου* (Verrucchio), *καὶ τραχεῖς τύραννοι Ἀριμίνου, ἦσαν Γουέλφοι, καὶ ἐθανάτωσαν ἐν τῇ εἱρκτῇ Μοντάγναν τὸν ἐκ Παρκιτάτων* (Montagna dei Parcitati), *ἀρχηγὸν τῶν Γιβελίνων.*

50. *Ἡ πόλις Φαυεντία* (Faenza) *ἐγγὺς τοῦ ποταμοῦ Λαμόνης (παρὰ τῷ ποιητῇ* Lamone, *παρὰ δὲ Πλινίῳ* Anemo), *καὶ Ἴμολα* (Imola, *τὸ πάλαι Φόρον Κορνηλίου*), *παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ παρὰ ἀρχαίοις Βαδρίνου, παρὰ δὲ τῷ ποιητῇ καλουμένου* Santerno, *ἐτέλουν ὑπὸ τὴν δεσποτείαν Μαινάρδου Παγάνου* (Mainardo Pagani), *ὄντος ποτὲ μὲν Γουέλφου, ποτὲ δὲ Γιβελίνου, καὶ φέροντος ὡς γενεαλογικὸν παράσημον λέοντα κυανοῦν ἐπὶ ἐδάφους λευκοῦ.*

52. *Ἡ πόλις Καίσηνα* (Cesena) *παρὰ τὸν ποταμὸν πάλαι μὲν Σάπιν, νῦν δὲ καλούμενον, ὡς καὶ παρὰ τῷ ποιητῇ, Σαΐον* (Savio), *ποτὲ μὲν διοικουμένη ὑπὸ τῶν ἰδίων αὐτῆς πολιτῶν ὡς πόλις ἐλευθέρα, ποτὲ δὲ τυραννουμένη.*

85. *Βονιφάκιος ὁ Η′. Οὗτος ἐκήρυξεν ἱερὸν πόλεμον κατὰ τοῦ οἴκου Κολώνης* (Colona), *προσωπικῶν αὐτῷ ἐχθρῶν, ὧν τὰ ἐν Ῥώμῃ μέγαρα ἐγειτονεύοντο τῷ Λατεράνῳ· οὐχὶ δέ, ὡς λέγει ὁ ποιητής, κατὰ τοῦ Σουλτάνου ἢ τῶν ἀρνησιχρίστων καὶ χριστιανῶν ἐμπόρων τῶν βοηθησάντων τῷ Μωαμεθανῶν βασιλεῖ πρὸς τὸ ἀνακτή-*

σασθαι τὴν Ἄκην ἢ Πτολεμαΐδα (παρὰ τῷ ποιητῇ καλουμένην Acri) *τῷ* 1291.

94. *Τὸ μύθευμα εὕρηται πιθανῶς ἐν ἀγνώστῳ τινὶ συναξαριστῇ, ὡς καὶ τὸ τῆς δωρεᾶς τῆς Ἰταλίας τῷ Πάπᾳ Σιλβέστρῳ.*

95. *Σωράκτον, παρὰ τῷ ποιητῇ* Siratti.

100. *Πραινεστῖνον, παρὰ τῷ ποιητῇ* Penestrino, *ἣν ἡ κυρία ἕδρα καὶ τὸ τελευταῖον φρούριον τοῦ οἴκου Κολώνης, ἐπὶ τῶν ἐρειπίων τῆς ἀρχαίας πόλεως Πραινέστου. Ἐνομίζετο δὲ ἀπόρθητον ὑπὸ τοῦ Γουΐδου, οὗ τὴν βοήθειαν ἐπεκαλεῖτο ὁ Βονιφάκιος. Ὁ Γουΐδος, καίτοι ἀρνηθεὶς τὸ πρῶτον, ἐπὶ ὑποσχέσει ὅμως πλήρους ἀφέσεως, συνεβούλευσε τῷ Πάπᾳ τὸν δόλον, ὃν οὗτος κατειργάσατο· ῥητῆς γὰρ συμβάσεως γενομένης μεταξὺ τῶν δύο μερῶν, καὶ τοῦ Πραινεστίνου παραδοθέντος τῷ Πάπᾳ ἐπὶ ὅρῳ συγχωρήσεως καὶ συνδιαλλαγῆς, τὸ μὲν φρούριον ἀμέσως κατηδαφίσθη, ὁ δὲ οἶκος Κολώνης ἐξηλάθη τῆς πατρίδος ἐξόριστος, Τοῦτο συνέβη τῷ* 1298.

105. *Κελεστῖνος ὁ Ε'.*

129. *Περὶ τοῦ διηγήματος τούτου ὅρα Βολταίρου* Dictionnaire Philosophique *ἐν τῇ λέξει* Dante.

Εἰς Ὠδὴν ΚΗ'.

11. *Οἱ τρεῖς καὶ ἥμισυς μόδιοι δακτυλίων σκυλευθέντων ἀπὸ τῶν πτωμάτων τῶν Ῥωμαίων ἱππέων τῶν πεσόντων ἐν Κάνναις ἐπὶ τοῦ δευτέρου Λιβυκοῦ πολέμου.*

14. *Ῥουβέρτος Γισκάρδος* (Roberto Guiscardo), *ὁ Νορμανδὸς Δοὺξ τῆς Ἀπουλίας· ἀπέθανε τῷ* 1085.

16. *Φρεγέλλαι, ἀρχαῖον ὄνομα τῆς παρὰ τῷ ποιητῇ*

πόλεως Καπεράνου (Caperano) *ἐπὶ τοῦ μεθορίου Νεαπόλεως, ἔνθα Κάρολος ὁ Ἀνδεγαυέων, ἐπιτραπεὶς δολίως καὶ ἐξ ἐπιβουλῆς διαβῆναι τὴν ἐκεῖ γέφυραν, ὑπέστη δεινὴν ἧτταν. Ἀλλ' αἱ σφαγαὶ καὶ ἡ λειποταξία τῶν Ἀπουλιανῶν Βαρώνων συνέβησαν πραγματικῶς ἐν Βενεύεντῳ.*

18. *Ἀλάρδος Βαλερῆς* (Alard Valéry), *γέρων Γάλλος ἱππότης, ἦν μετὰ Καρόλου τοῦ Ἀνδεγαυέων ἐν τῇ μάχῃ τῶν Τιλακοσσίων, παρὰ τῷ ποιητῇ* Tagliacozzo, *ἐν ᾗ ἐνικήθη ὁ Κοῤῥαδῖνος* (Conrandin), *ἀνεψιὸς Μαμφρέδου, τῷ 1268, τοῦ Ἀλάρδου συμβουλεύσαντος τὸ στρατήγημα πεπλασμένης ἥττης.*

31. *Χάριν εὐσχημοσύνης πρὸς τοὺς παμπληθεῖς μουσουλμανικοὺς λαούς, ὧν πολλαὶ ἑκατοντάδες μυριάδων συνδιαιτῶνται εἰρηνικῶς ἐν τῷ Ὀθωμανικῷ κράτει μετὰ συμπολιτῶν χριστιανῶν, ἔγνων ἧττον ἀπρεπές, ἀντὶ τοῦ Μωάμεθ, ὃν ὁ ποιητὴς πάντῃ ἀτόπως ὑπέβαλεν αἰσχραῖς βασάνοις ἐν τῷ περιβόλῳ τῶν σχισματικῶν, ἀντικαταστῆσαι Ἄρειον, τὸν μέγαν Σχισματάρχην, ὃς χριστιανὸς ὢν καὶ ἱερεὺς Πρεσβύτερος ἐπήνεγκε μεταξὺ τῶν χριστιανικῶν λαῶν διὰ τοῦ κατὰ τῆς ὁμοουσίου θεότητος τοῦ Χριστοῦ δόγματος τὸ ὀλέθριον ἐκεῖνο σχίσμα τὸ κατασπαράξαν τὴν Ἐκκλησίαν ἐπὶ πολλὰ ἔτη, ἀλλ' ἐκλελοιπὸς πρὸ πολλῶν ἤδη αἰώνων. Ἐξ ἐναντίας δέ, ὁ Μωάμεθ οὐκ ἦν ἀρχηγὸς σχίσματος, ὡς μὴ ὢν χριστιανός· ἀλλ' ἦν νομοθέτης τῶν Ἀράβων, καταργήσας τὴν παρ' αὐτοῖς πολυθεΐαν καὶ εἰσαγαγὼν τὴν λατρείαν ἑνὸς καὶ μόνου θεοῦ. Συγγνωστέος δ' ἂν εἴη ὁ Δάντης ὡς γράψας τὰ ποιήματα αὐτοῦ ἐν τῷ μέσῳ χριστιανῶν καὶ κατὰ τὰς ἀρχὰς τῆς δεκάτης τετάρτης ἑκατονταετηρί-*

δος, ὅτε ἤκμαζεν ἔτι ἐν τῇ δυτικῇ Εὐρώπῃ ὁ θρησκευτικὸς φρενετισμός, οὐχὶ δὲ ἐν τῇ παρούσῃ δεκάτῃ ἐννάτῃ ἑκατονταετηρίδι τῆς ἀνεξιθρησκείας καὶ τοῦ πεφωτισμένου πολιτισμοῦ. Πρὸς ὑποστήριξιν τῆς γνώμης μου ταύτης παρατίθεμαι ἐνταῦθα τὴν τοῦ σοφοῦ Γάλλου Λιτραίου, ἀποφαινομένου ἐν τῇ μεταφράσει τοῦ Ἅδου τοῦ Δάντου ὡς ἑφεξῆς· "Dante a soustrait le célèbre Sultan Saladin à toute peine, et l'a dignement placé à côté des sages et des grands hommes de l'antiquité Païenne (Voyez ci-dessus, Chant IV, v 129). Il eût été digne de sa haute intelligence de penser semblablement de Mahomet, et de ne pas nous le faire voir traité comme les vulgaires semeurs de scandale et de schisme. Ce n'est pas un schisme dont Mahomet fut auteur, c'est une religion. Il prêcha l'unité de Dieu au milieu de populations profondément polythéistes, et réussit à les transformer; mais le préjugé qui, dans le moyen âge, régnait en Occident contre *M a h o m* et son prétendu paganisme, et le grand réformateur religieux de l'Arabie fut précépité dans la neuvième bouge. Il est curieux de remarquer que l'esprit théologique du moyen âge et l'esprit imparfaitement philosophique du XVIIIe siècle furent également injustes envers Mahomet."

55. *Φρα-Δουλκῖνος* (Fra-Dolcino) *θρησκευτικὸς μεταῤῥυθμητὴς καὶ ἀρχηγὸς αἱρέσεως, καλουμένης "Οἱ Ἀποστολικοὶ Ἀδελφοί," καὶ δοξαζούσης τὴν κοινότητα τῶν κτημάτων καὶ τῶν γυναικῶν, ἀντέστη μετὰ πολλῶν ὀπαδῶν κατὰ τῆς ἐξουσίας τοῦ Πάπα ἐπὶ δύο ἔτη ἐν τῇ ὀρεινῇ ἐπαρχίᾳ τῆς Ναυάῤῥας· ἀλλ' ἐπὶ τέλους ὑπέκυψεν ἕνεκα πείνης ἐν καιρῷ χιόνος μεγάλης, καὶ φρικωδῶς*

βασανισθείς, ὑπέστη τὸν διὰ πυρὸς θάνατον ἐν Βερκέλλαις (Vercelli) *τῷ* 1307.

73. *Πέτρος Μεδικιναῖος* (Pier da Medicina), *σπορεὺς τῶν μεταξὺ Πολέντου καὶ Μαλατέστα διχονοιῶν.*

75. *Ἐγγὺς μιᾶς τῶν ἐγκλίσεων τῆς Λογγοβαρδίας, τῶν ἀπὸ Βρεκελλῶν ἄχρι τῶν ἐκβολῶν τοῦ Πάδου, ἵστατο πρότερον τὸ φρούριον Μαρκάβον.*

80. *Καθολική* (Cattolica), *κώμη παρὰ τὸν Ἀδριατικὸν κόλπον μεταξὺ Ἀριμίνου καὶ Πισαύρου* (Pesaro).

81. *Μαλατεστῖνος Ἀριμίνου* (Malatestino di Rimini), *ὃς ἦν μονόφθαλμος, ἐκάλεσε Γουΐδον τὸν Κασσέρου* (Guido de Cassero) *καὶ Ἀγγιολέλλον τὸν Καγνόνας* (Angiolello da Cagnona), *εὐπατρίδας Φάνου, εἰς φιλικὴν συνέντευξιν, καὶ ἀπέκτεινεν αὐτοὺς διὰ τῶν κωπηλατῶν ἅμα προσερχομένους.*

89. *Φώκαρον* (Focara) *ὄρος ἐστὶ πλησίον Καθολικῆς, γνωστὸν διὰ τὸν ἐκεῖθεν πνέοντα λίαν ἐπικίνδυνον ἄνεμον.*

102. *Ὁ Λουκανὸς* (*Φαρσ. Α'*, 281) *παρίστησι τὸν Κουρίωνα, φυγάδα καὶ αὐτὸν ἐκ Ῥώμης, ὡς πείσαντα τὸν Καίσαρα διαβῆναι τὸν Ῥουβίκωνα ποταμὸν οὐ μακρὰν τοῦ Ἀριμίνου διὰ τῶν ἑξῆς προτρεπτικῶν λόγων·*

"Tolle moras, nocuit semper differe paratis."

106. *Τῷ* 1215 *Βουδελμόντης τις, ἀνήκων εἰς τὸν οἶκον τῶν Βουδελμοντῶν* (Buondelmonte), *μνηστευθεὶς κόρῃ τινὶ ἐκ τοῦ οἴκου τῶν Ἀμιδαίων* (Amidei), *παρέβη τὴν ἐγγύην καὶ συνεζεύχθη ἄλλῃ ἐκ τοῦ οἴκου τῶν Δωνάτων* (Donati). *Οἱ συγγενεῖς τοῦ περιφρονηθέντος οἴκου συνῆλθον σκεψόμενοι περὶ ἐκδικήσεως· Ὁ δὲ Μόσκας*

Λαμβέρτης (Mosca Lamberti) *προέτεινε τὸν θάνατον τοῦ ὑβριστοῦ, ὃς καὶ ἐπιβουλευθεὶς ἀνῃρέθη τῇ χειρὶ τοῦ Μόσκου. Τὸ συμβὰν τοῦτο ἐγένετο πολλῶν κακῶν αἰτία τῇ Φλωρεντίᾳ, διαιρεθείσῃ ἕνεκα τοιαύτης ἰδιωτικῆς ἔριδος εἰς Γουέλφους καὶ Γιβελίνους.*

130. *Ἀνάμνησις Ἰερεμίου, Θρήν. Α', 12· "Οἱ πρὸς ὑμᾶς πάντες παραπορευόμενοι ὁδόν, ἐπιστρέψατε καὶ ἴδετε, εἰ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου."*

134. *Βερτράμος ὁ Βορνίου* (Bertram dal Bornio), *Κύριος Ἀλταφόρτης* (Altaforte ἢ Hauteforte), *καὶ εἷς τῶν συγχρόνων ἀρίστων ἱπποτῶν καὶ ῥαψῳδῶν* (trouvères—*ἀρχαίων ποιητῶν τῆς Γαλλίας*—), *ἀνέθρεψεν Ἑῤῥίκον, τὸν πρωτότοκον υἱὸν Ἑῤῥίκου τοῦ Β', ὃς ταῖς παρορμήσεσι τοῦ Βερτράμου ἀπεστάτησε κατὰ τοῦ πατρὸς αὐτοῦ, οὗ ἔτι ζῶντος περιεβλήθη τὸ βασιλικὸν στέμμα ἐπὶ τοῦ γάμου μετὰ Μαργαρίτας τῆς Γαλλίας τῷ* 1173, *καὶ ἐκαλεῖτο ἔκτοτε ὁ νέος Βασιλεύς, καίτοι τελευτήσας πρὸ τοῦ θανάτου τοῦ πατρὸς αὐτοῦ, καὶ οὐδέποτε τὴν βασιλείαν κατασχών. Ἐν τοῖς ἀρχαίοις διπλώμασι καὶ ἄλλοις ἐγγράφοις Ἑῤῥίκος ὁ Πρῶτος καλεῖται* Rex Henricus vetus (*Βασιλεὺς Ἑῤῥίκος ὁ Παλαιός*)· *Ἑῤῥίκος ὁ Δεύτερος* Rex Henricus Senior (*Βασιλεὺς Ἑῤῥίκος ὁ Πρεσβύτερος*),—*καὶ ὁ πρωτότοκος τούτου υἱός* Rex Henricus Junior (*Βασιλεὺς Ἑῤῥίκος ὁ Νεώτερος*).

137. *Ὁ Ἀχιτόφελ παρώτρυνε κακοβούλως τὸν Ἀβεσσαλὼμ κατὰ τοῦ Δαυΐδ·—"Καὶ Δαυΐδ ἀνηγγέλη, λέγοντες· Ἀχιτόφελ ἐν τοῖς συστρεφομένοις μετὰ Ἀβεσσαλώμ. Καὶ εἶπε Δαυΐδ· διασκέδασον δὴ τὴν βουλὴν Ἀχιτόφελ, Κύριε ὁ Θεός μου."* (*Βασιλ. Β'., Κεφ. ΙΕ'.*, 31.) "*Καὶ*

εἶπεν Ἀχιτόφελ πρὸς Ἀβεσσαλώμ· ἐπιλέξω δὴ ἐμαυτῷ δώδεκα χιλιάδας ἀνδρῶν, καὶ ἀναστήσομαι καὶ καταδιώξω Δαυῒδ τὴν νύκτα." (*Αὐτόθι, Κεφ. ΙΖ'*, 1.)

Εἰς Ὠδὴν ΚΘ'.

27. *Γέρης ὁ Βέλλου* (Geri del Bello), *διαβόητος σπορεὺς διχονοιῶν, ἐκ τοῦ οἴκου τῶν Ἀλγιερῶν* (Alghieri), *ἐφονεύθη ὑπό τινος ἐκ τοῦ οἴκου τῶν Σακκετῶν* (Sacchetti). *Ὁ φόνος οὗτος ἔμεινε τότε ἀτιμώρητος· ἀλλὰ μετὰ τριάκοντα ἔτη οἱ ἔγγονοι Γέρου τοῦ Βέλλου φονικὴν ἔλαβον ἐκδίκησιν κατὰ τῶν Σακκετῶν.*

48. *Κλάνις, ἀρχαῖον ὄνομα τῆς παρὰ τῷ ποιητῇ Βαλδικιάνας* (Valdichiana *ἢ* Val di Chiana), *τεναγώδους χώρας μεταξὺ Ἀρρητίου καὶ Κορτώνης, γνωστῆς ἐκ τοῦ ἐν αὐτῇ ἐπικρατοῦντος νοσεροῦ ἀέρος* (malaria).

59. *Τῶν κατοίκων Αἰγίνης καταστραφέντων ὑπὸ λοιμώδους νόσου, ἡ νῆσος κατὰ τοὺς μυθολογοῦντας κατῳκίσθη ἐκ νέου ὑπὸ μυρμήκων, οὓς ὁ Ζεὺς κατὰ παράκλησιν τοῦ Αἰακοῦ μετεμόρφωσεν εἰς ἀνθρώπους, ἐξ οὗ καὶ ἡ καταγωγὴ τῶν Μυρμιδόνων.* (*Ὀβιδ. Μεταμ. Ζ'*, 523—660).

109. *Γριφολῖνος* (Griffolino), *ἀλχυμιστὴς ἐξ Ἀρρητίου, ἐκαυχήθη πρὸς Ἄλβερτον νομιζόμενον υἱὸν τοῦ Ἐπισκόπου Σήνης* (*παρὰ τῷ ποιητῇ* Siena), *ὅτι δύναται διδάξαι τὴν τέχνην τοῦ ἵπτασθαι. Τῆς ἐπαγγελίας μὴ ἐκτελεσθείσης, ὁ Ἄλβερτος ψευσθεὶς τῆς ἐλπίδος κατηγόρησεν αὐτοῦ ὡς μάγου πρὸς τὸν ἐπίσκοπον Σήνης, ὃς κατεδίκασεν αὐτὸν εἰς τὸν διὰ πυρὸς θάνατον.*

125. *Ὁ Στρίκκας* (Stricca), *Νικολός* (Nicolò), *Κακ-*

κίας Ἀσκιανός (Caccia d' Ascian), *ὧν εἰρωνευόμενος μνείαν οὕτω ποιεῖται ὁ ποιητής, ἦσαν εὐπατρίδαι Σηναῖοι, ἀνήκοντες εἰς ἑταιρείαν, ἧς τὰ μέλη ἠράνιζον ἐπὶ τὸ αὐτὸ τὰς ἑαυτῶν περιουσίας, καὶ κατηνάλισκον αὐτὰς εἰς ἀσώτους καὶ παράφρονας σπατάλας. Ἡ νέα χρῆσις τοῦ καρυοφύλλου ἐπενοήθη πρὸς ὄπτησιν φασιανῶν καὶ καπώνων. Κῆπον δὲ ἐννοεῖ ὁ ποιητὴς μεταφορικῶς τὴν Σήνην.*

132. *Ἀββαλιάτος* (Abbagliato), *ἀνήκων εἰς τὴν αὐτὴν ἑταιρείαν· ἀλλὰ μὴ ἔχων χρήματα, συνέδραμε διὰ τῶν ἐπινοιῶν αὐτοῦ.*

136. *Ὁ Καπόκιος* (Capoccio) *ἦν συσπουδαστὴς τῷ Δάντῃ εἰς τὴν φυσικὴν ἱστορίαν.*

Εἰς Ὠδὴν Λ'.

4. *Ὁ Ἀθάμας παρέγνω ἐν τῇ μανίᾳ αὐτοῦ τὴν σύζυγον Ἰνώ, ἣν ἐφαντάσθη εἶναι λέαιναν, τοὺς δὲ ἐξ αὐτῆς υἱοὺς Λέαρχον καὶ Μελικέρτην λεοντιδεῖς. Ὀβιδ. Μεταμ. Δ'*, 416 *κφξ.*

16. *Ἡ Ἑκάβη μετεμορφώθη εἰς κύνα. Ὀβιδ. Μεταμ. ΙΓ'*. 567.

38. *Μύῤῥα, θυγάτηρ Κινύρα, βασιλέως Κύπρου. Ὀβιδ. Μεταμ. Ι'*. 567 *κφξ.*

44. *Τοῦ Βουώσου Δωνάτου ἀποθανόντος ἀδιαθέτου, Γιάνης τις Σκίκκης* (Gianni Schicchi) *κατευνάσθη ἐν τῇ κλίνῃ τοῦ νεκροῦ, καὶ ὑπηγόρευσεν ἐξ ὀνόματος τούτου διαθήκην ὑπὲρ Σίμωνος Δωνάτου, ἀνεψιοῦ τοῦ τεθνεῶτος, λαβὼν ὡς ἀντιμισθίαν τοῦ δόλου πολύτιμον φορβάδα.*

64. *Ἀδάμος Βριξιανός, κατὰ προτροπὴν τῶν ἀδελφῶν Γουΐδου, Ἀλεξάνδρου καὶ Ἀγινόλφου, Κομήτων Ῥωμένας, ἐνόθευσε δι' εὐτελεστέρου μετάλλου τὰ Φλωρέντια φλωρίνια, φέροντα τὴν εἰκόνα Ἰωάννου τοῦ Βαπτιστοῦ, ὄντα δὲ ἐκ καθαροῦ χρυσοῦ καὶ βαρύτητος 24 κερατίων.*

65. *Ἡ Ῥωμένα κεῖται ἐν Κασεντίῳ, κοιλάδι τοῦ Ἄρνου, ὑπεράνω Ἀῤῥητίου.*

78. *Βράνδα ἡ ἐν Σήνῃ κυρία κρήνη.*

97. *Ἡ τοῦ Πεντεφρῆ σύζυγος.* (*Γεν. ΛΘ'*, 6 *κφξ.*)

98. *Σίνων ἐστὶν ὁ ἕλλην, οὗ ταῖς προσποιήσεσι καὶ ψευδηγορίαις εἰσήχθη ὁ δούρειος ἵππος ἔσω τῆς Τροίας.*

Εἰς Ὠδὴν ΛΑ'.

10. *Ὡς ἂν εἰ ἔλεγεν· "Ὧδ' οὐκ ἦν ὅλως οὔτε νύξ, οὐδ' ἡμέρα," τοῦτ' ἔστι, λυκόφως τι ἦν.*

18. *Ἐν Ῥωγκεσβάλλαις* (Roncesvalles-*γαλλιστὶ* Roncevaux), *ὅτε κατὰ τὴν μυθογράφον ἱστορίαν Καρόλου τοῦ Μεγάλου τὸ κέρας τοῦ Ὀρλάνδου ἠκούσθη ἐν ἀποστάσει ἑνὸς μιλίου, ἤτοι ἑξήκοντα τεσσάρων σταδίων.*

41. *Μὸν-Ῥεγιῶνος* (Montereggion) *φρούριόν ἐστιν ἐγγὺς Σήνης, πύργοις περικυκλούμενον.*

59. *Ὁ μέγας ὀρειχάλκινος κῶνος, ὃς σήμερον ἵσταται ἐν τῷ κήπῳ τοῦ κώνου* (Giardino della Pigna), *ἐγγὺς τοῦ Βατικανοῦ, ἔχων ὕψος ὑπὲρ τοὺς ἕνδεκα πόδας.*

64. *Φρίσσονες, λαοὶ τῆς ἀρκτῴας Γερμανίας, φημιζόμενοι ἐπὶ τῷ ὑψηλῷ αὐτῶν ἀναστήματι.*

67. *Ἐν τῷ πρωτοτύπῳ* Rafel mai amech zabi almi. *Αἱ λέξεις αὗταί εἰσιν ἄνευ σημασίας καὶ ἀνεπίδεκτοι ἐξηγήσεως, τοῦ ποιητοῦ θέλοντος ὑποδεῖξαι τὸ ἀκατάλη-*

πτον τῶν λόγων τοῦ Νεμβρὼδ ὡς ἀποτέλεσμα τῆς συγχύσεως τῶν γλωσσῶν ἐπὶ τῆς τολμηρᾶς οἰκοδομῆς τοῦ Βαβυλωνείου πύργου, ἀποδιδομένης τῷ Νεμβρὼδ καὶ τοῖς περὶ αὐτόν. Καὶ ὁ μὲν Ἀββάτης Λάγκης (Abbate Lanci) *βεβαιοῖ, τόγε ἐπ' αὐτῷ, τοὺς λόγους τούτους τοῦ Νεμβρὼδ εἶναι Ἀραβικῆς γλώσσης, καὶ σημαίνειν, "Ὕψωσον τὴν ἐμὴν δόξαν ἐν τῇ Ἀβύσσῳ, ὡς ἔλαμψ' ἐν τῷ κόσμῳ." Μετ' αὐτὸν ἄλλος Ἀββάτης, ὁ Ἰώσηπος Βεντούρης* (Abbate Giuseppe Venturi), *διατείνεται, ὅτι οἱ λόγοι τοῦ Νεμβρώδ εἰσι Συριακῆς γλώσσης, καὶ σημαίνουσι, Ῥαφέλ, ὦ θεία δύναμις· μαΐ, ἵνα τί ἐγώ· ἀμέχ, ἐν τῷ βυθῷ, ἢ φρέατι τούτῳ· ζαβὶ, ἀπόστηθι· ἄλμι, κρύφθητι Ὁ στίχος μετηνέχθη ἀπαραλλάκτως ἑλληνικοῖς γράμμασι· τὸ δὲ ἀρχικὸν ἄλφα τῶν λέξεων ἀμὲχ καὶ ἄλμι ἐδιπλασιάσθη πρὸς συμπλήρωσιν τῶν δώδεκα συλλαβῶν τοῦ στίχου, ὡς καὶ οἱ Ἰταλοὶ προφέρουσι τὸ αὐτὸ ἄλφα ἀντὶ δύο πρὸς συμπλήρωσιν τῶν ἕνδεκα συλλαβῶν τοῦ Ἰταλικοῦ στίχου.*

77. *Νεμβρώδης, ὁ Νεμβρώδ,**) *ἑβραϊστὶ Νιμρὼδ* (נִמְרֹד), *κατὰ τοὺς ἑβδομήκοντα Νεβρώδ, πρῶτος βασιλεὺς Βαβυλῶνος, γίγας κυνηγὸς ἐναντίον Κυρίου τοῦ Θεοῦ.* (*Γεν. Ι'*, 8-20.)

100. *Ὁ Ἀνταῖος ἦν γίγας τῆς Λιβύης· γίνεται δὲ ἰδίως λόγος περὶ τούτου ἕνεκα τῶν κατωτέρω μνημονευθησομένων Ῥωμαϊκῶν ἐν Καρχηδόνι πολέμων. Ὁ γίγας οὗτος ἐφονεύθη ὑπὸ Ἡρακλέους* (*Λουκ. Φαρσ. Δ'*, 588). *Ἔστι*

---

*) Ἐν τῇ ἑλληνικῇ γλώσσῃ, ὁπόταν συμπέσῃ μ πρὸ τοῦ ρ, παρεμβάλλεται μεταξὺ τῶν δύο συμφώνων τὸ β, ὡς μεσημβρία· οὕτω λέγομεν Ἴμβρος, Ἴμβρασος, ὄμβρος.

δὲ ἀδέσμευτος, ὡς μὴ συμπράξας τοῖς ἄλλοις γίγασιν ἐν τῷ κατὰ τῶν θεῶν πολέμῳ. Σημειωτέον ὅτι ὁ Δάντης συμμιγνύει καὶ ἐνταῦθα, ὡς καὶ ἐν ἄλλαις ὑποθέσεσιν εἴωθε, τοὺς γίγαντας τῶν δύο παραδόσεων, δηλαδὴ Νεμβρώδ, Ἐφιάλτην, Βριάρεων, Ἀνταῖον κλ., ὧν οἱ μὲν ἀνῆκον εἰς τὴν παρ' Ἕλλησι μυθολογουμένην Γιγαντομαχίαν, οἱ δὲ εἰς τὰς διηγήσεις τοῦ Μωϋσέως.

"Οἱ δὲ Γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις."
(Γεν. ΣΤ', 4).

136. *Καρισένδα* (Carisenda) *ἡ πλαγιωτέρα τῶν δύο ἐπιῤῥεπῶν τύρσεων τῆς Βονωνίας.*

Εἰς Ὠδὴν ΛΒ'.

10. *Αἱ Μοῦσαι.*

29. *Ταβέρνικον, ἐν τῷ πρωτοτύπῳ* Tambernich, *ὄρος ἐν Σκλαβωνίᾳ.*

Πέτρα Ἀπουάνα, ὑψηλή τις κορυφὴ τῶν Ἀπεννίνων μεταξὺ Μουτίνης (Modena) *καὶ Λούκης.*

41. *Οὗτοι ἦσαν Ἀλέξανδρος καὶ Ναπολέων, υἱοὶ Ἀλβέρτου τῶν Ἀλβερτῶν, Κυρίου Φαλερίας* (Falterona), *δι' ἧς ῥέον τὸ ποτάμιον Βεσέντιον* (Bisenzio) *συνενοῦται τῷ Ἄρνῳ· ἔκτειναν δὲ ἀλλήλους μετὰ τὸν θάνατον τοῦ πατρός.*

62. *Ἐν τῷ Λαγκελώτου μυθιστορήματι ὁ Μορδρέδος* (Mordred *ἢ* Mordaret, *ἢ* Mordrac), *ἐπίβουλος καὶ ἀντάρτης υἱὸς τοῦ Ἀρθούρου, ἐνεδρεύσας ἵνα φονεύσῃ τὸν ἑαυτοῦ πατέρα, ἀνῃρέθη ὑπὸ τούτου διὰ λόγχης διαπειράσης τὸ στῆθος οὕτως, ὥστε ἡ ἀκτὶς τοῦ ἡλίου ἐφάνη διερχομένη διὰ τῆς πληγῆς. Διὸ ὁ ποιητὴς εἶπεν,* "a cui fu rotto il

petto e l'ombra" (*τὸν στῆθος καὶ σκιὰν διαπαρέντα*), *τοῦτ' ἔστιν, ὅστις εἶχε διαπεπαρμένον τὸ στῆθος οὕτως, ὥστε ἡ ἐπὶ τῆς γῆς σκιὰ ἐφαίνετο καὶ αὐτὴ διαπεπαρμένη ὡς ἐκ τῆς ἡλιακῆς ἀκτῖνος τῆς διελθούσης διὰ μέσου τῆς πληγῆς.*

63. ***Φωκκακίας*** (Focaccia), *ἐκ τοῦ λευκοῦ κλάδου τῆς γενεᾶς τῶν Καγκελλαρίων τῆς Πιστωρίας, προδοτικῶς ἀπέκοψε τὴν χεῖρα τοῦ ἰδίου ἐξαδέλφου, καὶ ἐδολοφόνησε τὸν ἑαυτοῦ θεῖον, ἀνήκοντας ἀμφοτέρους εἰς τὸν ἕτερον κλάδον. Ἐκ τούτου ἀνεφύη ἡ ἔκρηξις τῶν καταστρεπτικῶν στάσεων τῶν Λευκῶν καὶ Μελάνων.*

65. ***Σάσσολις Μασκερώνης ὁ Τούσκων*** (Sasso Mascheroni de' Toschi), *Φλωρεντῖνος, ἐφόνευσε τὸν ἑαυτοῦ ἀνεψιόν, ἵνα τύχῃ τῆς κληρονομίας αὐτοῦ.*

68. ***Καμικίων ὁ Πάζων*** (Camicion de' Pazzi) *ἐφόνευσε προδοσίᾳ τὸν συγγενῆ αὐτοῦ Οὐβερτῖνον.*

69. ***Καρλῖνος ὁ Πάζων*** (Carlino de' Pazzi), *δωροδοκηθεὶς παρέδωκε τοῖς Μέλασι τὸ φρούριον Πιαντρευῖνον* (Piantrevigne ἢ Piano di Trevigne), *ὅπερ κατεῖχεν ὑπὲρ τῶν Γιβελίνων καὶ τῶν Λευκῶν τῆς Φλωρεντίας, τῷ* 1302.

73. *Μέσον σημαίνει τὸ κέντρον, δηλαδὴ τῆς Γῆς. "Τα βάρη φέρεται πρὸς τὸ τῆς γῆς μέσον." Ἀριστ. περὶ Οὐρ. Βʹ, 14.*

78. *Οὗτος ἦν Βόκκας ὁ τῶν Ἀβάτων* (Bocca degli Abati), *ὁ προδοτικῶς ἀποκόψας τὴν χεῖρα τοῦ σημαιοφόρου τοῦ ἱππικοῦ τῶν Φλωρεντίνων ἐν τῇ μάχῃ τοῦ Μοντεαπέρτου* (Monteaperto) *τῷ* 1260· *ὥστε, τῆς σημαίας πεσούσης, ἡ ἧττα τῶν Γουέλφων κατέστη παντελής.*

88. *Ἡ διαίρεσις τοῦ ἐννάτου κύκλου ὠνομάσθη Ἀντή-*

νειρα ἀπὸ Ἀντήνορος, ἑνὸς τῶν Τρῴων δημογερόντων, ὃς ἦν ἐν προδοτικαῖς σχέσεσι μετὰ τῶν Ἑλλήνων.

116. *Βουῶσος Δαδουέρας ἐκ Κρεμώνης ἐπέτρεψε δωροδοκίᾳ τῷ Γουΐδῳ Μομφόρτου* (Guy-de Monfort) *διαβῆναι μετὰ τοῦ στρατοῦ τοῦ Καρόλου Ἀνδεγαυέων ἐντὸς τῆς Πάρμας, καί τοι ὀφείλων ἀντιστῆναι αὐτῷ ὑπὲρ Μαμφρέδου.*

119. *Εἷς τοῦ οἴκου Βεκκαρία τῆς Παπίας* (Pavia), *Ἀββάτης ἢ Ἡγούμενος τῆς Βαλλομβρώσης* (Vallombrosa), *καὶ Ληγᾶτος τοῦ Πάπα, ἀποκεφαλισθείς, κατά τινας ἀδίκως, ἐν Φλωρεντίᾳ τῷ* 1258, *ἐπὶ κατηγορίᾳ συνωμοσίας μετὰ τῶν ἐξορίστων Γιβελίνων.*

121. *Γιάννης Σολδανεῖρος* (Gianni Soldanieri), *Γιβελῖνος Φλωρεντῖνος, ὃς φιλοδοξίᾳ κινούμενος ἐπεχείρησε δημαγωγίαν πρὸς βλάβην τῆς ἰδίας αὐτοῦ μερίδος.*

122. *Γανελλών*, (Ganellone *κατὰ τὸν ποιητήν, κατ' ἄλλους δὲ* Ganellon), *προδότης ἐν Ῥωγκεσβάλλαις, οὗ γίνεται μνεία ἐν τῇ μυθογράφῳ ἱστορίᾳ Καρόλου τοῦ Μεγάλου.*

Τριβαλδέλλος ὁ Μαμφρέδων (Tribaldello *κατὰ τὸν ποιητήν, κατ' ἄλλους δὲ* Tebaldello de' Monfredi) *προὔδωκε τὴν Φαυεντίαν* (Faenza), *ἀνοίξας τοῖς ἐχθροῖς τὰς πύλας τῆς πόλεως τῷ* 1282.

130. *Τυδεὺς καὶ Μελάνιππος, πληγωθέντες θανατηφόρως ἐν μάχῃ πρὸ τῶν Θηβῶν. Ὁ Τυδεὺς ἐπιζήσας ἔδακε μανικῶς τὴν κεφαλὴν τοῦ ἀντιπάλου, ἀποκοπεῖσαν καὶ προσενεχθεῖσαν αὐτῷ ὑπὸ τῶν Ἑλλήνων.* (*Στατ. Θηβ. Η΄*, 140 *κφξ.*)

Εἰς Ὠδὴν ΛΓ′.

13. *Κατὰ Ἰούλιον τοῦ* 1283, *ὁ Οὐγολῖνος, Κόμης τῶν Γεραλδέσκων* (de' Geraldeschi) *καὶ ὁ συγγενὴς αὐτοῦ Νῖνος τῶν Βισκοντῶν* (de' Visconti), *κριτὴς Γαλλούρας, ἀμφότεροι Γουέλφοι, ἀντήριζον ἀλλήλοις περὶ τῆς ἐν Πίσῃ ἀρχῆς. Δυσμενῶς δὲ πρὸς ἀμφοτέρους διέκειτο ὁ Ἀρχιεπίσκοπος Ῥουγείρης* (Ruggieri *ἢ* Roger) *ἐκ τῶν Οὐβαλδίνων* (de' Ubaldini), *μετὰ τῶν Γουαλανδῶν καὶ Σισμονδῶν καὶ Λαμφράγκων* (Gualandi, Sismondi *καὶ* Lanfranchi) *καὶ ἄλλων Γιβελίνων οἴκων. Ὁ Οὐγολῖνος συνενωθεὶς προδοτικῶς τῷ Ἀρχιεπισκόπῳ κατὰ τοῦ Νίνου καὶ τῶν συναγωνιζομένων αὐτῷ, ἔτυχε μὲν τῆς ἐν Πίσῃ δεσποτείας, ἀλλὰ προὐδόθη ἐκ περιτροπῆς καὶ αὐτὸς ὑπὸ τοῦ Ἀρχιεπισκόπου, ὑποκινήσαντος τὸν λαὸν κατ' αὐτοῦ ἐπὶ κατηγορίᾳ ὅτι ἐγένετο προδότης τῆς Πίσης, παραδοὺς τὰ φρούρια τοῖς Φλωρεντίνοις καὶ Λουκαίοις. Ὁ Οὐγολῖνος μετὰ τῶν δύο αὐτοῦ υἱῶν καὶ δύο ἐγγόνων ἐβλήθη ἐν τῇ κατὰ τὴν πλατεῖαν τῶν Ἀντιάνων* (Anziani) *τύρσει, ἥτις ἔκτοτε ὠνομάσθη ἀπὸ τοῦ δράματος Εἱρκτὴ τῆς Πείνης, ἔνθα καὶ ἀπέθανον πάντες λιμῷ, τῶν κλειδῶν τῆς τύρσεως ῥιφθεισῶν εἰς τὸν Ἄρνον, κατὰ διαταγὴν τοῦ Ἀρχιεπισκόπου.*

29. *Πρὸς τὸ ὄρος Ἅγιος Ἰουλιανὸς* (Monte San Juliano) *μεταξὺ Πίσης καὶ Λούκης.*

80. *Δηλαδὴ τῆς Ἰταλίας, ἔνθα τὸ καταφατικὸν Ναὶ ἐκφράζεται διὰ τοῦ* Si.

82. *Γοργόνη καὶ Καπραρία, ἐν τῷ κειμένῳ* Gorgona *καὶ* Capraja, *δύο νῆσοι ἐγγὺς τοῦ στομίου τοῦ Ἄρνου.*

105. *Αἱ ἐν τῷ ἀέρι ἀτμίδες ἢ ὑγραὶ ἀναθυμιάσεις*

εἰσὶ κατὰ τὸν Ἀριστοτέλη ἡ αἰτία τῶν ἀνέμων. (*Μετεωρ. Β΄, 4.*)

118. *Φράτηρ Ἀλβερίγος ὁ τῶν Μαμφρέδων* (Alterigo de' Manfredi) *ἐκ τῆς Φαυεντίας ἐν Ῥωμανίᾳ, ἀνήκων εἰς τὸ τάγμα τῶν Φράτρων Γαυδέντων* (*ΚΓ΄*. 103), *ἐτιμώρησεν ὕβριν γενομένην ὑπὸ συγγενοῦς τινός, προσποιηθεὶς διαλλαγὴν καὶ καλεσάμενος τὸν ὑβριστὴν μετὰ τοῦ πατρὸς αὐτοῦ εἰς συμπόσιον· μετὰ δὲ τὸ δεῖπνον ἔκραξε τοῖς ὑπηρέταις, "προσενέγκατε ὀπώρας." Οὗτοι δέ, ἅμα δοθέντος τοῦ σημείου τούτου, ἐπέπεσον κατὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ ἀπέκτειναν ἀμφοτέρους.*

124. *Ἡ διαίρεσις αὕτη τοῦ ἐννάτου κύκλου ὠνομάσθη οὕτως ἀπὸ Πτολεμαίου, υἱοῦ Ἀβούβου, τοῦ προδοτικῶς ἀποκτείναντος ἐν συμποσίῳ Σίμωνα καὶ τοὺς υἱοὺς αὐτοῦ* (*Μακκαβ. ΙΣΤ΄*, 11-16).

137. *Βράγκας Δορίας* (Branca d' Oria) *ἐκ Γενούας ἐφόνευσε Μιχαὴλ Ζάγκην τὸν Λαγοδώρου* (Michael Zanche di' Logodoro, *περὶ οὗ ὅρα ΚΒ΄*, 88) *τὸν ἑαυτοῦ πενθερόν, πρὸς τὸ σφετερίσασθαι τὰ κτήματα αὐτοῦ, τῇ συνδρομῇ ἀνεψιοῦ τινος.*

154. *Δηλαδὴ σὺν Φράτερι Ἀλβερίγῳ.*

Εἰς Ὠδὴν ΛΔ΄.

1. *Οἱ λόγοι, οἷς χρῆται ὁ ποιητὴς λατινιστὶ ἐν ἀρχῇ τῆς ᾠδῆς ταύτης, εἰσὶν ὁ πρῶτος στίχος, μεταποιηθείς, ὕμνου τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ψαλλομένου κατὰ τὴν Μεγάλην ἑβδομάδα καὶ τὴν ἑορτὴν τῆς Σταυρώσεως, ἔχοντος δὲ ὡς ἐφεξῆς:*

"Vexilla Regis prodeunt;
Fulget Crucis mysterium."

τοῦτ᾽ ἔστιν, " Αἱ σημαῖαι τοῦ Βασιλέως προβαίνουσιν· ἀναλάμπει τὸ τοῦ Σταυροῦ μυστήριον."

20. *Δίς, ὁ Ἑωσφόρος. Ὅρα σημ* 68 *Ὠδῆς Ηʹ.*

58. *Ὁ ἐν τῷ στόματι τοῦ ἐμπροσθίου προσώπου τῆς κεφαλῆς τοῦ Ἑωσφόρου ἁμαρτωλὸς πάσχει πλέον τῶν δύο ἄλλων, διότι ἐκτὸς τῆς δήξεως σπαράττεται καὶ τοῖς ὄνυξι τοῦ Δαίμονος, ὧν αἱ πλήξεις εἰσὶ πολλῷ ἀλγεινότεραι ἢ αἱ τῶν ὀδόντων.*

62. *Ἰούδας Σκαριώτης ὁ προδότης, καὶ Βροῦτος καὶ Κάσσιος οἱ φονεῖς Ἰουλίου Καίσαρος, ἐτέθησαν ἐνταῦθα ὡς κατεργασάμενοι τὰς μεγίστας προδοσίας ἐν τῇ θρησκευτικῇ καὶ πολιτικῇ ἱστορίᾳ τοῦ κόσμου. Σημειωτέον δὲ ὅτι ὁ Κάσσιος, περὶ οὗ ὁ λόγος, ἦν κατὰ τοὺς ἀρχαίους ἱστορικοὺς ἔπωχρος, ἰσχνὸς καὶ λεπτόσωμος· ὥστε ἐνδέχεται ὅτι ὁ Δάντης συνέχεεν αὐτὸν μετὰ τοῦ Λ. Κασσίου, ὃν ὁ Κικέρων (Κατιλ. Γʹ, 6) ἀποκαλεῖ* adipem.

96. *Ἡμιτριταῖος σημαίνει ὅτι ὁ ἥλιος ἦν ἐν τῷ μέσῳ μεταξὺ τῆς πρώτης ὥρας, ἤτοι τῆς αὐγῆς, καὶ τῆς τρίτης κατὰ τὴν καθολικὴν λειτουργίαν, τοῦτ᾽ ἔστι μίαν καὶ ἡμίσειαν ὥραν βραδύτερον τῆς πρώτης, οὔσης δωδεκάτης μετὰ τὴν δύσιν τοῦ ἡλίου, καὶ ἑπομένως συμπιπτούσης κατὰ τὴν ἰσημερίαν ταῖς ἀνατολαῖς τοῦ ἡλίου, εἴτε* 6 *πρὸ μεσημβρίας. Ἐντεῦθεν ἐξάγεται ὅτι ὁ δεικνύμενος ὑπὸ τοῦ ποιητοῦ καιρός ἐστιν ἡ ἑβδόμη καὶ ἡμίσεια ὥρα πρὸ μεσημβρίας, λογιζομένη κατὰ τὴν θέσιν τοῦ ἡλίου, οἵα φαίνεται ἀπὸ τοῦ μεσημβρινοῦ ἡμισφαιρίου, ἐφ᾽ ὅ, διαβάντες ἤδη διὰ τοῦ κέντρου τῆς Γῆς, ὁ Βιργίλιος καὶ Δάντης ὡρμῶντο, διευθυνόμενοι πρὸς τοὺς ἀντίποδας τῆς Ἱερουσαλήμ.*

110. *Σημεῖον, τοῦτ᾽ ἔστι τὸ κέντρον τῆς Γῆς.*

114. *Ἐν Ἱερουσαλήμ, τόπῳ τῆς Σταυρώσεως τοῦ Χριστοῦ, νομιζομένῳ κατὰ τὴν μεσαιωνικὴν Γεωγραφίαν κέντρῳ τοῦ κατοικουμένου μέρους τῆς ὑδρογείου σφαίρας, τῆς γνώμης ταύτης, ὡς ἔοικεν, ἐπιστηριζομένης ἐπὶ τοῖς ῥηθεῖσιν ὑπὸ Ἰεζεκιήλ. "Τάδε λέγει Κύριος· Αὕτη ἡ Ἱερουσαλήμ, ἐν μέσῳ τῶν ἐθνικῶν τέθεικα αὐτήν, καὶ τὰς κύκλῳ αὐτῆς χώρας.* (Ε', 5).

116. *Ἡ Ἰουδαϊκὴ παρίσταται ὡς μικρά τις σφαῖρα, οὖσα ὁ κεντρικώτερος περίβολος ἐν Ἅδου, ἧς τὸ ἥμισύ ἐστιν ἐν τῷ βορείῳ ἡμισφαιρίῳ, τὸ δὲ ἕτερον ἥμισυ ἐν τῷ νοτίῳ.*

117. *Ἰουδαϊκὴ οὕτω κληθεῖσα ἀπὸ Ἰούδα Σκαριώτου, ὡς προδόντος τὸν Ἰησοῦν. Ἔστι δὲ ὁ ἔσχατος περίβολος τοῦ ἐννάτου κύκλου.*

126. *Τὸ ὄρος τοῦ καθαρτηρίου, ὅπερ ὁ ποιητὴς ὑποτίθεται εἶναι θεατὸν ἄνω τῆς θαλάσσης ἐν τῷ νοτίῳ ἡμισφαιρίῳ, καὶ συγκεῖσθαι ἐκ μέρους τινὸς τῆς γηΐνης σφαίρας, κειμένου ἐν τῷ κέντρῳ πρὸ τῆς πτώσεως τοῦ Ἑωσφόρου καὶ τῆς κοιλάνσεως τοῦ Ἅδου, ὃς ἦν σύγχρονος αὐτῷ.*

127. *Τοῦ Βελζεβούλ, τοῦτ' ἔστι τοῦ Ἑωσφόρου. Ὁ ποιητὴς ὁμιλῶν ἐκ τοῦ ἡμετέρου ἡμισφαιρίου λέγει, ὅτι κάτω, δηλαδὴ ἐν τῷ νοτίῳ ἡμισφαιρίῳ, ὑπάρχει χάσμα (τὸ ἄγον δηλονότι πρὸς τὴν ἐπιφάνειαν αὐτοῦ, ἔνθα κεῖται τὸ ὄρος τοῦ Καθαρτηρίου), ὅπερ ἀπέχει τοῦ Ἑωσφόρου, ἤτοι τῆς Ἰουδαϊκῆς, τοσοῦτον, ὅσον ἔχει μῆκος ὁ βυθὸς τοῦ Ἅδου· Ἴσως δὲ ὁ ῥύαξ, περὶ οὗ γίνεται λόγος ἐν στίχῳ 130, ἐστὶν ἡ Λήθη, ἐν ᾗ λούονται αἱ ψυχαὶ τῶν μετανοούντων, ἀνερχόμεναι πρὸς τὸ Καθαρτήριον.*

139. *Ὁ ὅλος καιρὸς τῆς ἐν Ἅδου διατριβῆς τοῦ ποιη-*

τοῦ δύναται διαιρεθῆναι εἰς τρεῖς περιόδους. Πρῶτον, ἀπὸ τοῦ καιροῦ τῆς ἀνευρέσεως τοῦ Δάντου ἐν τῷ Δρυμῶνι ἄχρι τῆς εἰσόδου εἰς τὸν Ἅδην, τὴν ἑσπέραν τῆς Μεγάλης Παρασκευῆς. Δεύτερον, ἀπὸ τοῦ καιροῦ τῆς εἰς τὸν Ἅδην εἰσόδου ἄχρι τοῦ καιροῦ τῆς ἐξόδου κατὰ τὸ κέντρον τῆς Γῆς, τὴν ἑσπέραν τῆς ἐπιούσης ἡμέρας. Τρίτον, ἀπὸ τοῦ καιροῦ τῆς ἐκ τοῦ Ἅδου ἐξόδου ἄχρι τῆς ἀφίξεως ἐπὶ τὴν ἐπιφάνειαν τῆς Γῆς πρὸς τὸ ἕτερον μέρος τῆς σφαίρας, τὸ πρωῒ τῆς Κυριακῆς τοῦ Πάσχα.

ΤΕΛΟΣ ΤΩΝ ΣΗΜΕΙΩΣΕΩΝ.

Τύποις Clayton & Co., 17, Bouverie Street, Fleet Street, London.